1. Indicar el significado etimológico de las palabras siguientes:
Dínamo, crisis, poesía, praxis, ofidio, física, barítono, acólito.

2. Indicar las dos palabras griegas que forman las siguientes:
Anestésico — metafísica (μετά *más allá*) — metrópoli — necrópolis — braquiología, braquicéfalo — barómetro — taquigrafía — física — oxítono — sinopsis — taxímetro — glucógeno.



Ulises y las Sirenas
De un vaso del siglo V a. C.

...νῆα κατάστησον, ἵνα νωιτέρην ὄπ' ἀκούσῃς
...detén la nave para que oigas nuestra voz
HOMERO, Odisea XII

Revisión de las declinaciones

(Gr. §§ 75-76)

VOCABULARIO

Substantivos irregulares

Ζεύς, Διός	*Zeus (Júpiter)*	ἡ ναῦς, νεώς	*nave*
ἡ γυνή, γυναικός	*mujer*	ἡ νύξ, νυκτός	*noche*
τὸ γόνυ, γόνατος	*rodilla*	τὸ οὖς, ὠτός	*oreja*
τὸ δόρυ, δόρατος	*lanza*	τὸ ὕδωρ, ὕδατος	*agua*
ὁ κύων, κυνός	*perro*	τὸ φῶς, φωτός	*luz*
ἡ μάρτυς, μάρτυρος	*testigo*	ἡ χείρ, χειρός	*mano*

VERSIÓN

1. Ὦ Ζεῦ, κόλαζε τοὺς πονηρούς. — 2. Αἱ Μοῦσαι θυγατέρες ἦσαν Διὸς καὶ Μνημοσύνης. — 3. Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. — 4. Αἱ Σειρῆνες ἔχουσιν σώματα μὲν γυναικῶν, πόδας δὲ καὶ πτερὰ ὀρνίθων. — 5. Αἱ Ἐρινύες δᾷδα καὶ ξίφος ἐν χερσὶν ἔχουσιν. — 6. Αἱ γυναῖκες καὶ αἱ κόραι ἐκ τῶν κρηνῶν ὕδωρ φέρουσιν. — 7. Τοῖς μὲν ἵπποις καὶ τοῖς κυσὶ τὰ ὦτα ἐστι κινητά· τοῖς δ' ἀνθρώποις ἀκίνητα. — 8. Ὦ Ζεῦ, τὴν πόλιν καὶ τοὺς πολίτας σῷζε. — 9. Μακρὰ καὶ

στιβαρὰ ἦν τὰ τοῦ Ἀχιλλέως καὶ τοῦ Ἕκτορος δόρατα. — 10. Αἱ ταχεῖαι νῆες τῶν Φαιάκων τὸν Ὀδυσσέα εἰς τὴν πατρίδα φέρουσιν. 11. Ἡ βουλὴ μὲν ἄρχει, χεὶρ δὲ πράττει.

TEMA

1. Entre los etíopes las mujeres llevan armas. — 2. La esperanza de los atenienses estaba en las naves. — 3. Los rayos, obra de los Cíclopes, eran armas de Zeus. — 4. Soldado, lleva la espada, la lanza y el escudo a la nave. — 5. Las estatuas de Artemisa llevan en las manos un arco o una antorcha.

El dual en la declinación

(Gr. §§ 93-94)

EJERCICIO DE APLICACIÓN

1. *Estudiar* el dual de las tres declinaciones:
2. *Formar* el dual de los siguientes nombres:


Νύμφα	ποιητής	κόραξ	μήτηρ	ἱερεύς
γλῶττα	γεωργός	ποιμήν	πάθος	πόλις

3. *Analizar y traducir:*

Τὼ νεανία — τὼ ἑταίρω — ναυμαχίαιν — ἀδελφοῖν φίλοιν — ἐγκωμιον τοῖν Διοσκούριοιν — τοῖν νεῴν — τοῖν ποδοῖν — τὼ πατέρε — τὼ σώματε — τὼ εὐδαίμονε πόλει — τὼ τοῖν ἐνδόξοιν ῥητόροιν λόγω.

VERSIÓN

1. Ὦ παῖδες, ἀποκαθαίρετε τὼ χεῖρε. — 2. Ὁ ἄνθρωπος ἔχει ὀφθαλμὼ καὶ ὦτε καὶ ῥῖνα καὶ στόμα καὶ γλῶτταν καὶ χεῖρε καὶ πόδε. — 3. Λητοῦς δύο παῖδε ἦσαν, Ἀπόλλων καὶ Ἄρτεμις. — 4. Ἀγχίσης Αἰνείᾳ δύο ἵππω ἔδωκε *(dió)*. — 5. Σημαίνει τοῖν χεροῖν. — 6. Τὼ ἑταίρω Πυλάδης τε καὶ Ὀρέστης φονεύουσιν ἄμφω τὸν Αἴγισθον.



ΙΧΘΥΣ ΖΩΝΤΩΝ *(Pez de los vivientes o vivificador)*. De una inscripción sepulcral romana de fines del siglo II o inicios del III

RECAPITULACIÓN

Los grandes dioses de Grecia

1. Ζεὺς μέν, πατὴρ τῶν θεῶν καὶ τῶν ἀνθρώπων, παντὸς τοῦ κόσμου βασιλεύει· Ποσειδῶν δὲ τῆς θαλάττης ἄρχει, καὶ Πλούτων τοῦ Ἅιδου· Ἀπόλλων δέ, ὁ τοῦ Διὸς καὶ τῆς Λητοῦς, τῶν τεχνῶν καὶ τῆς ποιήσεως ἔχει ἐπιμέλειαν, καὶ τὸν τῶν Μουσῶν χόρον ἄγει. Ἑρμῆς δὲ τῶν θεῶν ἄγγελός ἐστι, καὶ τοὺς ἐμπόρους καὶ τοὺς ῥήτορας καὶ τοὺς γυμναστὰς θεραπεύει. Ἄρης δὲ τοῦ πολέμου καὶ τῶν μαχῶν ἔχει ἐπιμέλειαν. Ἥφαιστος δέ, θεὸς τοῦ πυρός, χωλός, τὸν τοῦ Διὸς κεραυνὸν ἐν τῇ νήσῳ Λήμνῳ κατασκευάζει μετὰ τῶν Κυκλώπων. Διόνυσος δέ, ὁ τῆς ἀμπέλου πατὴρ καὶ τοῦ οἴνου εὑρετής, ἐν ταῖς Ἀθήναις ἦν ἐν μεγάλῃ τιμῇ.

2. Παρὰ δὲ ταῖς θεαῖς, Ἥρα μέν, ἡ τοῦ Διὸς γυνή, πασῶν θεῶν βασιλεύει. Ἀθηνᾶ δέ, τῆς πόλεως πρόμαχος, εὑρέτις τῶν τεχνῶν ἐστι, καὶ ἐν τῇ ἀκροπόλει ἔχει ἱερὸν θαυμαστόν, τὸν Παρθενῶνα, καὶ λαμπρὸν ἄγαλμα, ἔργον τοῦ Φειδίου. Ἄρτεμις δέ, τοῦ Ἀπόλλωνος ἀδελφή, τῆς θηρᾶς ἔχει ἐπιμέλειαν. Δημήτηρ δὲ τῆς γεωργίας θεά ἐστιν. Ἀφροδίτη δέ, ἔνδοξος τῷ κάλλει, σημαίνει τὴν τῆς φύσεως πολυγονίαν.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las palabras:

Gineceo — doríforo (φέρω, *llevar*) — fósforo, fotografía, fotosfera — cínico — mártir — otorrinolaringólogo, otalgia (ἄλγος, *dolor*) — quirúrgico (ἔργον, *trabajo, operación*), quiromancia (μαντεία, *predicción*) — hidrógeno, hidráulico (αὐλός, *tubo*), hidroterapia (θεραπεία, *cura*), anhidro — ginecólogo.



ΖΕΥΣ ΟΛΥΜΠΙΟΣ
Viena, Museo de Historia del Arte



Víctimas para el sacrificio, en la procesión de las Panateneas
Friso norte del Partenón

EL ADJETIVO

Adjetivos de la 1.ª clase

δίκαιος - ἀγαθός - ἔνδοξος
(Gr. § 78)

VOCABULARIO

ἄξιος, ία, ον	*digno*	ἴσος, η, ον	*igual*
βέβαιος, ος, ον	*firme, seguro*	κοῦφος, η, ον	*ligero, vano*
καθαρός, ά, όν	*puro*	λευκός, ή, όν	*blanco*
μακρός, ά, όν	*grande*	ὀρθός, ή, όν	*recto*
μικρός, ά, όν	*pequeño*	πιστός, ή, όν	*fiel*
παλαιός, ά, ον	*antiguo*	ἀπόρευτος, ος, ον	*impracticable*
σπουδαῖος, α, ον	*diligente*	διάφορος, ος, ον	*diferente*
σφαλερός, ά, όν	*inestable*	ἔντιμος, ος, ον	*apreciado*
φοβερός, ά, όν	*temible*	ἔρημος, ος, ον	*desierto*
ἱκανός, ή, όν	*suficiente, apto*	φρόνιμος, ος, ον	*prudente*

El adjetivo calificativo

o atributo puede ponerse entre el artículo y el substantivo, o detrás de éste repitiendo el artículo.

Ej.: ἡ καλὴ οἰκία o bien ἡ οἰκία ἡ καλή *la casa hermosa*

VERSIÓN

1. Οἱ σπουδαῖοι μαθηταὶ ἀεὶ ἔντιμοί εἰσιν. — 2. Ἡ γῆ φέρει τοὺς καρποὺς ἀναγκαίους τῷ βίῳ καὶ τὰ μέταλλα χρήσιμα ταῖς τέχναις. — 3. Ὁ ἄνθρωπος ὁ ἄδικος δοῦλος τῆς ἀδικίας ἐστίν. — 4. Οἱ τῶν Ἀθηναίων νόμοι καὶ τῶν Λακεδαιμονίων ἦσαν πάνυ διάφοροι. — 5. Ἡ μὲν παλαιὰ φιλία ἐστὶ πιστὴ καὶ βεβαία, ἡ δὲ νέα σφαλερά. — 6. Χρήσιμα ἔργα φέρει δόξαν. — 7. Παλαιά ἐστιν ἡ ἑλληνικὴ γλῶττα. — 8. Τοῖς ἀνθρώποις τοῖς πονηροῖς ὁ θάνατος φοβερός ἐστιν. — 9. Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι. — 10

Ἐλευθέρου ἀνδρός ἐστιν ἀεὶ τὰ ἀληθῆ λέγειν

Adjetivos de la 2.ª clase

εὐδαίμων-ἀληθής

(Gr. § 79)

VOCABULARIO

μνήμων, ων, ον	*que recuerda*	ἀκριβής, ής, ές	*exacto*
ἀπράγμων, ων, ον	*descuidado*	ἀσεβής, ής, ές	*impío*
ἄρρην, ην, εν	*macho*	ἀσφαλής, ής, ές	*seguro*
ἐλεήμων, ων, ον	*compasivo*	ἀτυχής, ής, ές	*desgraciado*
ἔμφρων, ων, ον	*inteligente*	ἀφανής, ής, ές	*desconocido*
ἐπιστήμων, ων, ον	*hábil*	εὐγενής, ής, ές	*bien nacido*
κακοδαίμων, ων, ον	*infeliz*	εὐτυχής, ής, ές	*feliz*
φιλόφρων, ων, ον	*benévolo*	πλήρης, ης, ες	*lleno de* (g.)

VERSIÓN

1. Οἱ τῶν Ἀθηνῶν λιμένες πλήρεις ἦσαν τριήρων καὶ πεντήρων καὶ ἄλλων νεῶν. — 2. Οἱ πένητες ἐνίοτε εὐδαίμονές εἰσιν. — 3. Τοῖς ἔμφροσι τῶν ἀνθρώπων προσήκει βοηθεῖν τοῖς κακοδαίμοσιν. — 4. Τοῖς ἄρρεσι τῶν ἐλάφων κέρατα ἐστιν. — 5. Τοὺς ἀσεβεῖς οὐ στέργει θεός. — 6. Ὀρέστου δυστυχὴς βίος ἦν. — 7. Τὰ ἔπη τοῦ Σωκράτου πλήρη ἦν σοφίας. — 8. Τοῖς εὐτυχέσιν οὐ βεβαία ἡ τύχη. — 9. Οἱ παῖδες εὐγενεῖς τῶν πατρὸς καὶ μητρὸς λόγων μνήμονές εἰσιν. — 10. Ἐπαμεινώνδας πατρὸς ἦν ἀφανοῦς. — 11

Ὦ βασιλεῖς, μνήμονες ἔστε τῆς θνητῆς φύσεως

Adjetivos de la 3.ª clase

μέλας - πᾶς - γλυκύς

(Gr. § 80)

VOCABULARIO

μέλας, αινα, αν	*negro*	βραχύς, εῖα, ύ	*breve*
μάκαρ, αιρα, αρ	*feliz*	εὐθύς, εῖα, ύ	*recto, directo*
πᾶς, πᾶσα, πᾶν	*todo*	ἡδύς, εῖα, ύ	*agradable*
τάλας, αινα, αν	*infeliz*	παχύς, εῖα, ύ	*espeso, grueso*
τέρην, τέρεινα, τέρεν	*tierno*	ταχύς, εῖα, ύ	*rápido*
χαρίεις, ίεσσα, ίεν	*gracioso*	ὠκύς, εῖα, ύ	*veloz*

El adjetivo πᾶς

puede tener las construcciones y significados siguientes:

1 — πᾶσα πόλις, *toda, cada ciudad,* lat. **omnis civitas**

2 — πᾶσα ἡ πόλις, *toda la ciudad,* lat. **tota civitas**

3 — πᾶσαι αἱ πόλεις o πᾶσαι πόλεις, *todas las ciudades,* lat. **omnes civitates**

VERSIÓN

1. Πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια.— 2. Πᾶσα εὐδαιμονία τέλος ἔχει ταχύ. — 3. Πάντες Ἕλληνες καὶ βάρβαροι νομίζουσιν εἶναι θεούς. — 4. Πᾶσα δ' εἰκὼν χαρίεσσα ἦν. — 5. Αἱ τῶν παίδων καὶ τῶν γυναικῶν χεῖρες τέρειναί εἰσιν. — 6. Χαρίεντα χορὸν ἐν τῷ θεάτρῳ χορεύουσιν οἱ χορευταί. — 7. Οἱ φιλόσοφοι πᾶσι φίλοι εἰσί. — 8. Πᾶσι τοῖς Αἰθίοψι μέλαν τὸ δέρμα, μέλανες οἱ ὀφθαλμοί, μέλαινα δὲ κόμη. — 9. Οὐ πάντα πᾶσι καλά, οὐδὲ ἄξια σπουδῆς πᾶσι πάντα. — 10. Τὸ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ φυλάττουσιν οἱ φιλάργυροι. — 11. Ἀνδρῶν ἐπιφανῶν πᾶσα γῆ τάφος. — 12. Ὁ μὲν βίος βραχύς, ἡ δὲ τέχνη μακρά.

13. Πασῶν τῶν λυπῶν ἰατρός ἐστιν ὁ χρόνος

Adjetivos irregulares

μέγας - πολύς
(Gr. § 82)

VOCABULARIO

Substantivos

ἡ ἀβουλία, ας	*falta de voluntad*	ὁ ποταμός, οῦ	*río*
τὸ ἄγαλμα, τος	*estatua*	ὁ σύμμαχος, ου	*aliado*
ὁ βωμός, οῦ	*altar*	ἡ συμφορά, ᾶς	*desgracia*
τὸ κράτος, ους	*fuerza*	ὁ φόβος, ου	*miedo*

Construcciones y significados del adjetivo **πολύς**

1 — Οἱ πολλοί *la multitud, el pueblo*
2 — Τὸ πολύ *la mayor parte*
3 — Πολλοὶ ἀνθρώπων *muchos hombres* (gen. partitivo).

VERSIÓN

1. Τῶν 'Αθηναίων τὸ πολὺ ἐν τῇ ἀγορᾷ ἦν. — 2. Κροίσῳ ἦν πολλὴ στρατιὰ καὶ πολὺ πλῆθος συμμάχων καὶ πολλὰ χρήματα. — 3. 'Επὶ πολλοῖς τῆς 'Ελλάδος ὄρεσι ἱερὰ καὶ βωμοὶ καὶ ἀγάλματα θεῶν ἦσαν. — 4. 'Η ἀβουλία ἐστὶν αἰτία πολλῶν καὶ μεγάλων συμφορῶν. — 5. Δικαία γλῶττα ἔχει κράτος μέγα. — 6. Ταρσοὶ ἦσαν τῆς Κιλικίας πόλις μεγάλη καὶ εὐδαίμων. — 7. 'Αλέξανδρον, τὸν Μακεδόνων βασιλέα, μέγαν ὀνομάζουσιν. — 8. Οἱ στρατιῶται ἐν μεγάλαις ἐλπίσιν ἦσαν.

EJERCICIO DE ETIMOLOGÍA

1. Encontrar palabras castellanas derivadas de los adjetivos griegos:

ἱερός	καθαρός	μνήμων	ὀρθός	πᾶν(τ)
ἴσος	νέος	μόνος	λευκός	παχύς
ὁμός	παλαιός	κακός	ἔρημος	ταχύς

2. Dar el significado etimológico de las palabras:

Poliandria, poligamia (γάμος *matrimonio*), policromía (χρῶμα *color*), polifonía — megalito, megalomanía — abúlico — hidrofobia, fotofobia, xenofobia — leucemia — macrocéfalo.

Comparativos y superlativos

(Gr. §§ 83-89)

EJERCICIOS DE APLICACIÓN

1. *Formar* el comparativo y el superlativo de los adjetivos siguientes:

ἔνδοξος	*ilustre*	εὐσεβής	*piadoso*	κακός	*malo*
δίκαιος	*justo*	εὐδαίμων	*feliz*	βαρύς	*pesado*
χαλεπός	*difícil*	σώφρων	*juicioso*	γλυκύς	*dulce*
ἀσθενής	*débil*	ἄφρων	*insensato*	πρέσβυς	*viejo*

2. *Analizar* y *traducir*, dando el nominativo singular del positivo:

ἄνδρας κακίους — τῶν ἡδίστων ἐπαίνων — ἄνδρες δικαιότατοι — τοὺς πρεσβυτέρους — κτήματα γλυκίω — τοῖς ταχίστοις ζῴοις.

·Complemento del comparativo y superlativo

1. El *complemento del comparativo* se pone o bien en genitivo, o bien en el mismo caso que el primer término de la comparación y precedido de la conjunción ἤ (= castellano *que*, latín **quam**).

Ej.: *Más sabio que Ciro*
Σοφώτερος τοῦ Κύρου lat. **doctior Cyro,**
ὁ σοφώτερος ἢ Κῦρος lat. **doctior quam Cyrus**

2. El *complemento del superlativo* se construye en caso genitivo, como en latín.

Ej.: Τὸ ὑψηλότατον τῶν δένδρων *el más alto de los árboles,* lat. **altissima arborum.**

VERSIÓN

1. 'Ο κύων πιστότατον τῶν ζῴων ἐστι, καὶ ὁ λέων ἰσχυρότατον, καὶ ὁ βοῦς χρησιμώτατον. — 2. Παροιμία ἐστί· ἀφωνότερος ἰχθύος, μελάντερος κόρακος. — 3. Τῆς ἀρετῆς οὐκ ἔστι κτῆμα τιμιώτερον καὶ βεβαιότερον. — 4. Πάντων τῶν ποιητῶν Ὅμηρος σοφώτατος καὶ παλαιότατός ἐστιν. — 5. Θεμιστοκλῆς εὐνούστερος ἦν εἰς πα-

τρίδα ἢ Ἀλκιβιάδης. — 6. Ἐν ταῖς ἀτυχίαις πολλάκις οἱ ἄνθρωποι σωφρονέστεροί εἰσιν ἢ ἐν ταῖς εὐτυχίαις. — 7. Ἡ γερουσία συνέδριόν ἐστι Λακεδαιμονίοις κυριώτατον τῆς πολιτείας. — 8. Μέλανες μέν εἰσιν οἱ τῆς Λιβύης ἄνθρωποι, μελάντεροι δὲ οἱ Αἰθίοπες. — 9 Οἱ παλαίτεροι τοὺς νεωτέρους διδάσκουσιν.

10. Πασῶν Ἀθῆναι τιμιωτάτη πόλις.

11. Νόμιζε μηδὲν μητρὸς εὐμενέστερον.

TEMA

1. La virtud es más preciosa que el oro. — 2. Los cuervos son las más negras de las aves. — 3. Un amigo fiel es el más precioso de los bienes. — 4. Los jóvenes espartanos eran más robustos que los atenienses. — 5. El oráculo de Apolo en Delfos era muy famoso. — 6. La amistad de los buenos y los justos es siempre la más fiel y segura.

Comparativos y superlativos irregulares

Positivo		Comparativo	Superlativo
ἀγαθός	*bueno*	ἀμείνων βελτίων	ἄριστος βέλτιστος
κακός	*malo*	χείρων	χείριστος
μέγας	*grande*	μείζων	μέγιστος
πολύς	*mucho*	πλείων	πλεῖστος

VERSIÓN

1. Οὐκ ἔστι κτῆμα ἄμεινον φίλου. — 2. Ἡ Ἀθηναίων πόλις πλεῖστα καὶ κάλλιστα θεάματα τοῖς ξένοις παρέχει. — 3. Οἱ μὲν Πέρσαι πλείους τῶν Ἑλλήνων ἦσαν ἐν Μαραθῶνι, οἱ δ' Ἕλληνες τῶν Περσῶν βελτίους. — 4. Ὁ θάνατος κοινὸς μὲν καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις ἐστίν, φοβερώτερος δὲ τοῖς κακοῖς ἢ τοῖς ἀγαθοῖς. — 5. Φύλλα πλείω καὶ καλλίω ἐστὶ τῶν ἀγρίων ἢ τῶν ἡμέρων φυτῶν. — 6. Μέτρον ἐν πᾶσιν ἄριστον. — 7. Ἡ φύσις αὐτὴ *(ipsa)* ἀποφαίνει ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος ἄρχειν καὶ πλέον ἔχειν. — 8. Ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος εἶ, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης. — 9. Βέλτιστον τὸ μέτρον.

RECAPITULACIÓN

La gloria de Atenas

Αἱ Ἀθῆναι εἰσι πατρὶς τῶν μεγίστων συγγραφέων καὶ τῶν δεινοτάτων ῥητόρων. Γιγνώσκομεν γὰρ τὰ ὀνόματα Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου, βελτίστων τραγῳδοποιῶν· Ἀριστοφάνους δέ, τοῦ ἀρίστου κωμῳδοποιοῦ· Πλάτωνος δέ, τοῦ λαμπροτάτου τῶν τοῦ Σωκράτους μαθητῶν· Δημοσθένους δέ, τοῦ μεγίστου τῶν ἑλληνικῶν ῥητόρων· Θουκυδίδου καὶ Ξενοφῶντος, εὐδοκιμωτάτων ἱστορικῶν. Αἱ Ἀθῆναί εἰσι ἀληθῶς ἐνδοξοτάτη τῶν πόλεων τῇ γραμμάτων δόξῃ.


Παροιμίαι καὶ γνῶμαι

Δειλότερος τῶν λαγῳων
Λευκότερον χιόνος
Ὦτων πιστότεροι ὀφθαλμοί
Γλυκύτερον μέλιτος
Ἥδιστον ἀκρόαμα ἔπαινος
Ταχὺς ὁ ἵππος, θάττων δ' ὁ ἄνεμος, τάχιστος δ' ὁ νοῦς.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las palabras:

Aristocracia (κρατέω *dominar*) — presbicia, présbita, presbítero — astenia — barítono, barisfera, bario — glucógeno, glucosa — sinónimo — antónimo — paranoia — anemómetro.



Sófocles, Platón, Tucídides, Demóstenes



Corredores en el estadio. Detalle de un ánfora panatenaica, del siglo VI a. C.

ADJETIVOS NUMERALES

(Gr. §§ 95-96)

VOCABULARIO

Substantivos

ὁ Κύκλωψ, ωπος	*cíclope*	τὸ ἔαρ, ἔαρος	*primavera*
ὁ ὀφθαλμός, οῦ	*ojo*	τὸ θέρος, ους	*verano*
τὸ μέτωπον, ου	*frente*	ἡ ὀπώρα, ας	*otoño*
ὁ στρατηγός, οῦ	*general*	ὁ χειμών, ῶνος	*invierno*
ἡ μηχανή, ῆς	*máquina*	τὸ στάδιον, ου	*estadio (medida de longitud de unos* 178 *metros)*
ἡ μνᾶ, ᾶς	*mina (moneda de* 100 *dracmas)*		

Adjetivos

οὐδείς, οὐδεμία, οὐδέν	*ninguno*	μόνος, η, ον	*solo*
ἕκαστος, η, ον	*cada uno*	τέλειος, ος, ον	*hecho, acabado*

Verbos

ἀπο-λύω	*destruir*	ἱστορέω, -ῶ	*narrar, contar*
ἀπ-έχω	*distar*	μένω	*permanecer*
ἀπο-θνῄσκω	*morir*	πολιορκέω, -ῶ	*sitiar*

Palabras invariables

ἐνταῦθα (adv.)	*allí, entonces*	μεῖον (adv.)	*menos*
αὐτίκα (adv.)	*en seguida*	πλεῖον (adv.)	*más*

Complemento de extensión, fecha, precio

1. **La extensión,** de tiempo y espacio, va en *acusativo.*
   Ej.: Μένει ἡμέρας πέντε *permanece cinco días*
   Ἀπέχει στάδια ἕξ *dista seis estadios*
2. **La fecha** va en *dativo* y, algunas veces, en *genitivo.*
   Ej.: Τῇ πέμπτῃ ἡμέρᾳ *al quinto día*
   Χειμῶνος *en invierno,* νυκτός *de noche*
3. **El precio** se expresa en *genitivo.*
   Ej.: Ἦν εἴκοσι μνῶν *valía veinte minas*

VERSIÓN

1. Ἀπέχει ἡ Πλάταια τῶν Θηβῶν στάδια ἑβδομήκοντα. — 2 Ἐνταῦθα Κῦρος μένει ἡμέρας πέντε. — 3. Δύο ἦσαν οἱ Διόσκουροι, τρεῖς δὲ αἱ Χάριτες, τρεῖς καὶ αἱ Μοῖραι, ἐννέα δὲ αἱ Μοῦσαι, δώδεκα δὲ οἱ μεγάλοι θεοί. — 4. Οἱ Κύκλωπες ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου ἔχουσιν. — 5. Διογένης λέγει φίλους εἶναι μίαν ψυχὴν ἐν δυοῖν σώμασιν. — 6. Ἡ οἰκία ἐστὶ *(vale)* εἴκοσι μνῶν. — 7. Τῷ τετάρτῳ ἔτει τῆς τετάρτης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος ἦν ἡ ἐν ταῖς Θερμοπύλαις μάχη. — 8. Τέτταρές εἰσιν αἱ ἐτῶν ὧραι· τὸ ἔαρ, τὸ θέρος, ἡ ὀπώρα, ὁ χειμών. — 9. Ἦσαν πεντεκαίδεκα οἱ στρατηγοὶ τοῖς Ἀθηναίοις. — 10. Τύρον δὲ πολιορκεῖ Ἀλέξανδρος ἑπτὰ μῆνας, μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης. — 11. Νυκτὸς βουλή ἐστι τοῖς ἀνθρώποις. — 12. Ὁ ἥλιος θέρους μὲν λάμπει πλεῖον, χειμῶνος δὲ μεῖον ἢ ἔαρος.

TEMA

1. Los 12 trabajos de Hércules son famosos. — 2. Darío III, el enemigo de Alejandro, es el duodécimo rey de los persas. Ciro fue el primero, Cambises el segundo, Darío el tercero. — 3. Jerjes destruye Atenas el año 480. — 4. El libro vale (ἐστίν) cinco minas. — 5. Critias era uno de los Treinta. — 6. En el capítulo tercero del libro séptimo de la Ciropedia (ἡ Κύρου παιδεία), Jenofonte cuenta la muerte de Pantea y Abradates.

RECAPITULACIÓN

Los Diez Mil llegan a Isos

'Εντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, ἐπὶ τὸν Ψάρον ποταμόν· τοῦ δὲ Ψάρου τὸ εὖρος ἦν τρία πλέθρα. 'Εντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας πέντε, ἐπὶ τὸν Πύραμον ποταμόν. 'Εντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας πεντεκαίδεκα, εἰς 'Ισσούς, τῆς Κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάττῃ οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. 'Ενταῦθα μένει ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν [1] αἱ ἐκ Πελοποννήσου νῆες, τριάκοντα καὶ πέντε, καὶ ἐπ'αὐταῖς ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος.

JENOFONTE

Decía Tales de Mileto...


Θαλῆς ὁ φιλόσοφος ἔλεγεν· «Τριῶν ἕνεκα χάριν ἔχω τῇ τύχῃ· πρῶτον μέν, ὅτι ἄνθρωπος ἐγενόμην [2] καὶ οὐ θηρίον, δεύτερον δ', ὅτι ἀνὴρ καὶ οὐ γυνή, τρίτον δ', ὅτι Ἕλλην καὶ οὐ βάρβαρος.

[1] παρῆσαν, impf. de πάρ-ειμι *estar presente, reunirse con (dat.).* — [2] ἐγενόμην *nací.*

EJERCICIO DE ETIMOLOGÍA

1. Formar palabras castellanas derivadas de numerales griegos.
2. Dar el sentido etimológico de las siguientes palabras:

Decamerón, trisagio, hecatombe, pentagrama, decálogo, Pentecostés, protagonista, protomártir, historia, oftalmología, mecánica, meriápodo, hexámetro, década, Dodecaneso, pentatlon.



Ἑρμῆς ψυχοπομπός
Pintura de un vaso, siglo V a. C.



Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ
ANACREONTE

Escena de un συμπόσιον.
De una copa del siglo V a. C.

PRONOMBRES - ADJETIVOS PRONOMINALES

Pronombres personales

(Gr. §§ 102-103)

VOCABULARIO

Substantivos

ἡ ἀλήθεια, ας	*verdad*	ἡ γνῶσις, εως	*conocimiento*
ἡ ἀκοή, ῆς	*oído*	ὁ νόμος, ου	*ley*
ἡ ἀσέβεια, ας	*impiedad*	τὸ συμπόσιον, ου	*banquete*
ἡ γένεσις, εως	*origen*	τὸ χρῆμα, ατος	*cosa; bien*

Adjetivos

ἀ-βέβαιος, α, ον	*inseguro*	κενός, ή, όν	*vacío*
καλὸς κἀγαθός, ή, όν	*distinguido, perfecto*	κοινός, ή, όν	*común*

Verbos

ἀκούω	*oír*	ἐλπίζω	*esperar*
ἀπο-κτείνω	*matar*	πορίζω	*procurar*

Palabras invariables

μέντοι	*ciertamente*	ὅτι (conj. completiva)	*que*

Los pronombres personales de primera y segunda persona no se usan en nominativo, sino cuando se quiere poner de relieve el sujeto, como en latín.

VERSIÓN

1. Πολλοὶ καλοὶ κἀγαθοὶ φίλοι εἰσὶν ἐμοί. — 2. Ἐγώ εἰμι ὁ Κύριος ὁ Θεός σου. — 3. Οὐκ ἐγώ σε ἀποκτείνω, ἀλλ' ὁ τῆς πόλεως νόμος. — 4. Μὴ λέγε· «Ἐγώ εἰμι σοφώτερος ἢ σύ», ἀλλὰ σώφρων ἴσθι. — 5. Οἱ κακοὶ οὐ μόνον τὸν οἶκον τὸν ἑαυτῶν φθείρουσιν ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. — 6. Οἱ ἄγγελοι λέγουσιν ὅτι πέμπει ἑαυτοὺς ὁ βασιλεύς. — 7. Ἡ πατρίς ἐστι κοινὴ μήτηρ ἡμῶν πάντων. — 8. Τὴν μὲν ἀλήθειαν ὑμῖν λέγω, ὑμεῖς δ' ἐμοῦ οὐκ ἀκούετε. — 9. Ὁ σοφὸς φέρει ἐν ἑαυτῷ πάντα τὰ ἀγαθὰ καὶ τὰ χρήματα αὐτοῦ οὐκ ἔστιν ἀβέβαια. — 10. Μέγιστον ἐστι σοφίας μέρος τὸ ἑαυτὸν γιγνώσκειν. — 11. Σωκράτης διδάσκει· Ὃς ἄλλον βλάπτει, ἑαυτὸν βλάπτει· βλάπτει γὰρ τὴν ἑαυτοῦ ψυχήν.

TEMA

1. Tú eres feliz; yo soy feliz. — 2. Tú, Gorgias, eres un sofista; tú, Sócrates, eres un filósofo. — 3. Dinos sus nombres. — 4. Padre, escúchame (*genit.*). — 5. Dios siempre te mira. — 6. Nosotros te admiramos, Sócrates. — 7. Tú y yo esperamos. — 8. Dios procura muchos bienes a ti, a mí y a nosotros todos.

Adjetivos o pronombres posesivos

Gr. §§ 103-105)

VOCABULARIO

Substantivos

ὁ ἑταῖρος, ου	*compañero*	ἡ ἐκκλησία, ας	*asamblea*
ὁ εὐεργέτης, οῦ	*bienhechor*	ἡ ὁμιλία, ας	*conversación*
ὁ πρόγονος, ου	*antepasado*	ἡ σκηνή, ῆς	*tienda*

En lugar del adjetivo posesivo puede usarse el genitivo del pronombre personal.

Ej.: Ὁ ἐμὸς φίλος o φίλος μου *mi amigo*

VERSIÓN

1. Τὸν σὸν ἵππον καὶ τὰ σὰ ὅπλα θαυμάζω. — 2. Μεγάλη ἡ τῶν ὑμετέρων στρατιωτῶν ἀρετή. — 3. Τοῖς τοῦ ἐμοῦ ἑταίρου λόγοις ἀεὶ πιστεύω. — 4. Περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι. — 5. Ὁ μὲν ἐμὸς παῖς σπουδαῖός ἐστιν, ὁ δὲ σὸς ἀμελής. — 6. Ὁ πόλεμος οὐχ ἧττον βλάπτει τὴν ἡμετέραν πόλιν ἢ τὴν ὑμετέραν. — 7. Τῶν ἡμετέρων προγόνων λαμπρά ἐστιν ἡ δόξα. — 8. Ἡ πόλις ἡμῶν αἰτία τοῖς Ἕλλησι τῆς σωτηρίας. — 9. Ὦ παῖ, πρᾶττε τὰ σαυτοῦ.

El artículo substituye el posesivo

cuando no hay ninguna duda sobre quién es el posesor.

Ej.: Στέργω τὸν πατέρα *quiero a mi padre*
Στέργει τὸν πατέρα *quiere a su padre*

TEMA

1. Vuestros padres, atenienses, eran más valientes que vosotros. — 2. Tus leyes, oh Solón, eran sabias y justas. — 3. Niños, honrad a [vuestros] padres y a [vuestras] madres. — 4. Mi madre y tu hermana son amigas. — 5. Dinos [tu] nombre. — 6. Nuestra casa es más hermosa que la vuestra — 7. Los soldados cuidan [sus] cascos y [sus] escudos.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las palabras siguientes:

Iglesia, eclesiástico, eclesiarca. — Escena, escénico. — Homilía. — Balística, ballesta (βάλλω *arrojar*). — Botánica (βοτάνη *planta*). — Anarquía. — Afonía. — Acústica. — Génesis. — Crematística. — Simposion. — Cenobio (βίος *vida*). — Cenotafio.

Adjetivos o pronombres demostrativos

(Gr. §§ 107-114)

VOCABULARIO

Substantivos

ὁ ἔφηβος, ου	*adolescente*	ἡ ἀπάτη, ης	*engaño*
ὁ θεράπων, οντος	*criado*	ἡ διάνοια, ας	*mente*
ὁ κύριος, ου	*señor*	ἡ κώμη, ης	*aldea*
ὁ λόφος, ου	*colina*	ἡ πάροδος, ου	*paso*
ὁ σωτήρ, ῆρος	*salvador*	ἡ ῥώμη, ης	*fuerza*
ὁ τόπος, ου	*lugar*	τὸ σύνθημα, ατος	*señal, santo y seña*

Adjetivos

βλαβερός, ά, ό	*perjudicial*	ὁμαλός, ή, όν	*llano*
ὀρθός, ή, όν	*recto*	χρηστός, ή, όν	*útil*

Palabras invariables

μετά (prep.) con acus.	*después de, más allá de;* gen. *con*	ἄνευ (prep. gen.)	*sin*
σύν (prep. de dat.)	*con*	ἀεί (adv.)	*siempre*
		οὔτε... οὔτε (conj.)	*ni... ni...*

EJERCICIOS DE APLICACIÓN

1. *Declinar* y *traducir* las siguientes expresiones:

ὅδε ὁ ἀνήρ	οὗτος ὁ λόγος	ἐκεῖνος ὁ λόφος
ἥδε ἡ γυνή	αὕτη ἡ οἰκία	ἐκείνη ἡ νῆσος
τόδε τὸ πρᾶγμα	τοῦτο τὸ δένδρον	ἐκεῖνο τὸ ῥόδον

2. *Analizar* y *traducir* las frases siguientes:

Ταῦτα θαυμάζω ἐν τῷ ἀνδρί. — Οὗτος ὁ ἀνήρ ἐστι Δημοσθένης. — Ταῦτα μὲν λέγεις· τάδε δὲ λέγω. — Ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν αἰτία ἐστίν. — Φέρε ἐκεῖνο τὸ βιβλίον. — Ταῦτα τὰ δένδρα φέρει καρπούς. — Τοῦτο τὸ βιβλίον ἐμόν ἐστιν, σὸν δ' ἐκεῖνο. — Ἀκούετε καὶ τάδε. — Ὅδε ὁ παῖς τίει τοῦτον τὸν πατέρα.

Colocación del adjetivo demostrativo

ὅδε / οὗτος / ἐκεῖνος	ὁ ἀνήρ o bien: ὁ ἀνήρ	ὅδε	*este varón*
		οὗτος	*ese varón*
		ἐκεῖνος	*aquel varón*

VERSIÓN

1. Ἐν τῇ μάχῃ τὸ τῶν Ἑλλήνων σύνθημα ἦν τόδε· «Ζεὺς σωτὴρ καὶ Νίκη». — 2. Ῥώμη μετὰ διανοίας χρηστή, ἄνευ δὲ ταύτης βλαβερά ἐστιν. — 3. Ὅδε ὁ βίος σκιᾶς πάροδός ἐστι. — 4. Ἐν τούτῳ τῷ τόπῳ ἦν ἡ γῆ πεδίον ὁμαλόν. — 5. Τούτου τοῦ ἀνδρὸς ὁ λόγος ἐστὶ καλός, ἐκείνου δὲ ἡ πρᾶξις καλλίων. — 6. Ὁ ἄγγελος τάδε λέγει· «Πάρεστι Δαρεῖος σὺν τῷ στρατῷ». — 7. Ταῦτα τὰ ἔθνη ἐστι βάρβαρα καὶ οἱ ὁδοιπόροι φεύγουσιν ἀεὶ ταύτην τὴν γῆν. — 8. Ὦ ποιμήν, εἰς ἐκεῖνον λειμῶνα τὴν ἐμὴν ποίμνην ἄγε. — 9. Οὔτε ἡμεῖς ἐκείνου θεράποντές ἐσμεν, οὔτε ἐκεῖνος ἡμέτερος κυριός ἐστιν. — 10. Φεῦγε τούσδε τοὺς κόλακας καὶ τὰς τῶνδε ἀπάτας. — 11. Ἦσαν καὶ ἄλλαι κῶμαι ἐν τούτῳ τῷ πεδίῳ. — 12. Οὗτος καὶ τὴν πατρίδα καταισχύνει καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν (*siendo*) τοιοῦτός ἐστιν. — 13. Τούτου ὑμῖν ἐστι Γοργίας. — 14. Λέγω τοῦτο πρὸς πάντας ὑμᾶς. — 15. Ἐν ἐκείνῃ τῇ μάχῃ, οὗτοι οἱ στρατιῶται ἀνδρεῖοι καὶ ἰσχυροί ἦσαν. — 16. Ταύτης τῆς νίκης ὅδε ὁ στρατηγὸς αἴτιός ἐστιν.

TEMA

1. Esta capa es de aquel joven. — 2. Tebas es la más grande ciudad *del país en cuestión*[1]. — 3. Escuchad, oh atenienses, *lo siguiente.*[2] — 4. Admirable es la belleza de este templo, de ese pórtico y de aquellas estatuas. — 5. Este camino es más recto, pero aquél es más agradable y más seguro. — 6. Tú dices esto, pero yo no lo creo. — 7. Aquellas rosas son hermosas. — 8. Este es el más feliz, aquél el más desgraciado de los hombres. — 9. Esta casa pertenece al (ἐστί y gen.) *señor de que tratamos*[3]. — 10. Considera atentamente *lo que voy a decir*[2].

[1] = ese país. — [2] = estas cosas. — [3] = ese señor.

El demostrativo αὐτός

(Gr. §§ 112-114)

VOCABULARIO

Substantivos

ἡ γνώμη, ης	*parecer, sentencia*	ἡ πρόφασις, εως	*pretexto*
ἡ μορφή, ῆς	*forma*	τὸ στράτευμα, ατος	*ejército*
ὁ παράδεισος, ου	*jardín*	ὁ τρόπος, ου	*manera*
τὸ πρᾶγμα, ατος	*cosa, asunto*	ὁ χρόνος, ου	*tiempo*

Verbos

καλέω-ῶ	*llamar*	μετα-βάλλω	*cambiar*
κελεύω	*ordenar*	τειχίζω	*fortificar*

Diferentes significados de αὐτός

1. Precedido del artículo significa *el mismo* = lat. **idem**.
   Ej.: ὁ αὐτὸς βασιλεύς **idem rex**, *el mismo rey*
2. Si no va precedido del artículo o éste no le precede *inmediatamente*, significa *mismo, en persona* = lat. **ipse**.
   Ej.: αὐτὸς ὁ βασιλεύς o ὁ βασιλεὺς αὐτός **ipse rex**, *el rey mismo, en persona*
3. Los casos oblicuos αὐτόν, αὐτοῦ, etc., hacen las veces del pronombre de 3.ª persona (en latín **eum, ejus,** etc.)

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* las formas siguientes:

αὕτη, αὐτή, αὐτῇ — αὗται, αὐταί — ταῦτα, ταὐτά.

2. *Analizar* y *traducir*:

ἐγὼ αὐτός — ἐν τῷ αὐτῷ τόπῳ — περὶ τῶν αὐτῶν πραγμάτων — αὐτὸς ὁ Ἀριστείδης — τῆς αὐτῆς πατρίδος — ὁ θάνατος αὐτός — περὶ τῶν αὐτῶν — αὐτὸς λύω, αὐτὸς λύεις, αὐτὸς λύει, αὐτοὶ λύομεν — ὁ φίλος αὐτοῦ — ἡ αὐτὴ γνώμη αὐτῆς — αὕτη ἡ γνώμη αὐτῆς — τοὺς ἵππους αὐτῶν — αὐτὸς ὁ θάνατος αὐτοῦ — τῆς πατρίδος αὐτοῦ — οὗτος ὁ παράδεισος αὐτῶν — τοῦτον τὸν παῖδα αὐτῆς.

3. *Traducir* las siguientes frases:

Αὐτῷ φίλος εἶ. — Αὕτη πρόφασις ἦν αὐτοῖς. — Ἔλεγε αὐτῷ τάδε. — Θαυμάζομεν τὴν ἀνδρείαν τοῦ Λεωνίδου καὶ τῶν στρατιωτῶν αὐτοῦ. — Λέγω περὶ Σωκράτους καὶ ἐπαινῶ αὐτόν.

VERSIÓN

1. Ἥδε ἡ ὁδὸς αὐτὴ ἄγει εἰς τὴν κώμην. — 2. Ἐγὼ αὐτὸς ἐκεῖνός εἰμι. — 3. Ἡ αὐτὴ γνώμη περὶ τῶν αὐτῶν πραγμάτων οὐκ ἦν ἀεὶ τοῖς Ἀθηναίοις. — 4. Θεμιστοκλῆς κελεύει τοὺς Ἀθηναίους τειχίζειν, καὶ αὐτούς, καὶ γυναῖκας, καὶ παῖδας. — 5. Ἐγὼ μὲν ὁ αὐτός εἰμι, σὺ δὲ μεταβάλλεις. — 6. Πρωτεὺς οὐκ ἦν ἀεὶ ἐν τῇ αὐτῇ μορφῇ. — 7. Ἐγὼ μὲν οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. — 8. Τὸ στράτευμα πᾶν ἐν τῷ αὐτῷ τόπῳ ἦν. — 9. Τοὺς μὲν ἄλλους πονηροὺς λέγεις, σὺ δ'αὐτός ἄξιος εἶ τοῦ αὐτοῦ ὀνόματος. — 10. Τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. (Εὐκλείδης). — 11. Τί ἐστι πολέμιον ἀνθρώποις; — Αὐτοὶ ἑαυτοῖς. — 12. Οἱ Λακεδαιμόνιοι ἐστράτευσαν εἰς τὸ Ἄργος αὐτοί τε καὶ σύμμαχοι. — 13

Αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα

TEMA

Los atenienses y los espartanos no tenían (ἦσαν y *dat.*) las mismas leyes. — 2. Evita la deshonra más que la muerte misma. — 3. Tú siempre hablas de las mismas cosas y de la misma manera (*dat.*). — 4. Pelópidas y Epaminondas eran de la misma patria. — 5. Jenofonte y Platón fueron al mismo tiempo discípulos de Sócrates.

RECAPITULACIÓN

Salamina

Ὦ κλεινὰ Σαλαμίς, σὺ μέν
που ναίεις ἁλίπλακτος εὐδαίμων,
πᾶσιν περίφαντος ἀεί

Sófocles, *Ayax*

Γῆ μὲν ἔαρ κόσμος

Γῇ μὲν ἔαρ κόσμος πολυδένδρεον, αἰθέρι δ'ἄστρα,
Ἑλλάδι δ' ἥδε χθών, οἵδε δὲ τῇ πόλεϊ

Antología Palatina

EJERCICIO DE ETIMOLOGÍA

1. *Encontrar* las palabras castellanas derivadas de las siguientes palabras griegas:


Αὐτός y γράφω *escribir*; — αὐτός, βίος *vida* y γράφω; — αὐτός y χθών, χθονός *tierra* — αὐτός y κράτος *poder, dominio*; — αὐτός y νόμος *ley*; — αὐτός y ὄψις *vista*; — αὐτός y διδάσκω *enseñar*.

2. *Dar* el significado etimológico de las siguientes palabras:

Ciriaco. — Tópico, topografía. — Ortodoxia, ortografía, ortopedia. — Crónica, crónico, cronómetro, cronología, anacronismo, sincronismo. — Paraíso. — Trópico, tropo, heliotropismo. — Metabolismo. — Pragmático. — Antropomorfismo. — Tautología. — Topónimo — Anómalo.

3. *Indicar* la relación de significado que hay entre:

βλάπτω y βλαβερός — θεράπων y θεραπεύω — ἀκούω y ἀκοή — ἄρχω y ἄρχων — παῖς y παιδεύω — τεῖχος y τειχίζω — σωτήρ y σῴζω.



ΠΟΣΕΙΔΩΝ

Cabeza de Posidón
Detalle de una estatua de bronce del siglo V. a. C.

Ποσειδάων ἐννοσίγαιος
Posidón que sacude la tierra
HOMERO

Pronombres relativos

(Gr. §§ 115-117 y 119)

VOCABULARIO

Substantivos

ἡ ἀκτίς, ῖνος	*rayo*	ἡ μουσική, ῆς	*música*
ὁ ἔπαινος, ου	*alabanza*	ἡ ὁμιλία, ας	*trato, compañía*
τὸ ἔνος, ους	*costumbre, uso*	ἡ πηγή, ῆς	*fuente*
τὸ ἦθος, ους	*costumbre, carácter*	τὸ πρόβατον, ου	*oveja*
ὁ ἥλιος, ου	*sol*	ἡ σφαῖρα, ας	*pelota*
τὸ κράτος, ους	*fuerza, poder*	τὸ τεῖχος, ους	*muralla*

Verbos

αὐξάνω	*acrecentar*	μαραίνω	*consumir*
ζητέω-ῶ	*buscar*	παίζω	*jugar*
μανθάνω	*aprender*	τέρπω	*alegrar, recrear*

Palabras invariables

ὅτι (conj.)	*que, porque*	πάλιν (adv.)	*de nuevo*

Concordancia del relativo

Como en latín **qui**, ὅς concuerda en *género* y *número* con su antecedente, pero se pone en el caso que exige su función en la frase.

Ej.: Ὁ ἵππος ὃς τρέχει *el caballo que corre*
Ὁ φίλος ὃν στέργω *el amigo a quien amo*

VERSIÓN

1. Λέγει ὅτι εὐδαιμονέστατός ἐστιν ὃς τοὺς σωφρονεστάτους φίλους ἔχει. — 2. Δίωκε τὰς ὁμιλίας τῶν ἀνθρώπων, ὧν καθαρά ἐστι τὰ ἤθη. — 3. Ἃ ἔχεις, παρὰ θεῶν ἔχεις. — 4. Θαυμαστόν ἐστι τὸ κρά-

Supresión del antecedente

Cuando el antecedente de ὅς es el demostrativo οὗτος y el relativo está en el mismo caso que su antecedente, éste se suprime.

Ej.: Ὃς ταῦτα λέγει (= οὗτος, ὃς ταῦτα λέγει) *el que dice estas cosas*, lat. **qui haec dicit**.

τος τοῦ ἡλίου, ὃς πάντα ταῖς ἀκτῖσιν αὐξάνει καὶ πάλιν μαραίνει. — 5. Ὦ τάλαινα ἀδελφή, ᾗ παντοῖαί εἰσι μέριμναι. — 6. Μάνθανε τὴν σοφίαν, ἥ πηγή ἐστι πάντων τῶν καλῶν. — 7. Αὐτός εἰμι ὃν ζητεῖτε. — 8. Ὅστις τούσδε τοὺς παῖδας παιδεύει, οὗτος ἄξιος ἐστιν ἐπαίνου. — 9. Πέμπε ἄνδρα ὅτῳ σὺ πιστεύεις. — 10. Τοῖς Σκύθαις οὐκ εἰσὶν οἰκίαι· οὗτος δ'αὐτῶν πλουσιώτατος, ᾧ πλεῖστα πρόβατά ἐστιν. — 11. Ἐκεῖνος ὁ παῖς, ὃς σφαίρᾳ παίζει, ἐμὸς ἀδελφός ἐστιν. — 12. Καὶ ἡ μουσική, ἥνπερ σὺ νῦν μανθάνεις, με τέρπει. 13. Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.

TEMA

1. Admiramos a los atenienses, quienes en las batallas de Maratón y Salamina (= en Maratón y Salamina) fueron los salvadores de Grecia. — 2. La ciudad que no tiene leyes, no está segura. — 3. Los antiguos tenían dioses (= para los antiguos había dioses) que eran muchas veces injustos. — 4. Hermosas son estas rosas que florecen en el jardín. — 5. Dice que es envidiable la ciudad en la que mandan los mejores, porque en ella todo el mundo (= todos) está tranquilo. — 6. Digno de fe es el hombre que tú dices y cuyo carácter conozco bien.

RECAPITULACIÓN

Palacio de Ciro en Celenas

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν, εἰς Κελαινάς, τῆς Φρυγίας πόλιν μεγάλην μαὶ εὐδαίμονα. Ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως. Ἔστι δὲ καὶ μεγάλου βασιλέως[1] βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρος ἐστιν εἴκοσι καὶ πέντε ποδῶν.

JENOFONTE

[1] βασιλεύς, sin artículo, *del gran rey*, es decir, *del rey de Persia* (Gr. § 41).

EJERCICIO DE ETIMOLOGÍA

1. Significado etimológico de las palabras:

Acrata, ético, etopeya, esfera, pirosfera, meandro, Euterpe.

2. Significado de las palabras griegas que siguen e indicar las palabras latinas que tienen el mismo origen:

Μήν — χειμών *(hiems)* — ἔτος *(vetus)* — πλεῖον — σύ — μένω — καλέω *(clamo)* — λέων — νύξ — νέος — πούς, ποδός — φύλλον.



Estela sepulcral del marino Democleides, sentado en actitud melancólica, a bordo de su nave. Bajorrelieve del siglo V a.C.

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε, καὶ γὰρ ὅθ' ἡμεῖς ὠλόμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν

Soy la tumba de un náufrago, pero tú sigue navegando, pues cuando nosotros perecimos, las demás naves continuaron su rumbo.

ANTOLOGÍA PALATINA

Pronombres interrogativos

(Gr. §§ 120-121)

VOCABULARIO

Substantivos

ὁ δεσπότης, ου	*señor*	ἡ ἔρις, ιδος	*disputa, rivalidad*
ὁ διδάσκαλος, ου	*maestro*	ὁ ξένος, ου	*extranjero, huésped*
ὁ δοῦλος, ου	*esclavo*	τὸ ξένιον, ου	*presente de hospita-*
τὸ δένδρον, ου	*árbol*	ἡ στρατεία, ας	*expedición* [*lidad*
τὸ ἔργον, ου	*obra*	ἡ χείρ, χειρός	*mano*

Adjetivos

ἄ-πειρος, ος, ον	*inexperto*	δειλός, ή, όν	*tímido, cobarde*
ἔμ-πειρος, ος, ον	*experto*	πλούσιος, α, ον	*rico*

Verbos

κλαίω	*llorar*	πράττω	*hacer, tratar*
κολάζω	*castigar*	φυτεύω	*plantar*
βουλεύω	*aconsejar*	χαίρω	*alegrarse* (dat.)

Palabras invariables

ἦ... (adv.)	*¿...?*	πότερον... ἤ (adv.)	*¿acaso... o...?*
ἆρα (adv.)	*¿acaso...?*	οὐδαμῶς (adv.)	*de ninguna*
ναί (adv.)	*sí*	τε (conj. enclítica)	*y* [*manera*

EJERCICIO DE APLICACIÓN

Τίνες ἐστέ, ὦ ἄνδρες; καὶ περὶ τίνος ἔρις ἐστίν; – Τίνων παῖδές εἰσιν οὗτοι; – Ὄνομα δέ σοι τί ἐστιν; καὶ τί τὸ σὸν ἔργον; – Τίς ἐστιν οὗτος ὁ νεανίας; τίνος ἐστὶ καὶ τίνος πατρίδος; – Τίς ἐστιν αὕτη ἡ χώρα; Ἑσπερία. – Πότερον δοῦλον ὁ δεσπότης κολάζει; – Μετὰ τὴν νίκην πότεροι μᾶλλον χαίρουσιν, οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι; – Πότερος ἀμείνων ἦν στρατηγὸς Ἀλέξανδρος ἢ Ἀννίβας;

τε... καί

En una enumeración, muchas veces el primer miembro se anuncia por τε (lat. **que**) enclítico y el segundo por καί

EJERCICIO DE APLICACIÓN

Σώφρων τε ἐστι καὶ σπουδαῖος. – Ἐν τῷ λιμένι πλοῖά ἐστι μικρά τε καὶ μεγάλα. – Ὁ τε δεσπότης καὶ ἡ δέσποινα χαίρουσι τοῖς τῶν οἰκέτων ἔργοις. – Παῖδές τε καὶ γυναῖκες ἐκλαίον. – Ὁ δεσπότης κολάζει τούς τε θεράποντας καὶ τὰς θεραπαίνας. – Ἡ κόρη φέρει ἄνθη τε καὶ καρπούς.

VERSIÓN

1. Τίνες ἐστέ, ὦ ξένοι, καὶ τίνος πατρίδος; οὐδεὶς γὰρ ἐνταῦθα γιγνώσκει ὑμᾶς. – 2. Τί πράττουσιν, τί λεγουσιν οἱ στρατιῶται; τίνα ἐστιν αὐτῶν τὰ ὅπλα; – 3. Τίς εἶ; τί λέγεις περὶ σεαυτοῦ; – 4. Τίνος εἰσὶν οἱ παῖδες ἐκεῖνοι; – 5. Τίς πλουσιώτερος ἢ εὐδαιμονέστερος τοῦ μεγάλου βασιλέως, ὃς πάσης τῆς Ἀσίας ἄρχει; – 6. Τίνος εἰσὶν οὗτοι οἱ ἵπποι; – Βασιλέως. – 7. Διὰ τίνα αἰτίαν κλαίεις; – 8. Ἦ σὺ ταῖς χερσὶ πάντα ταῦτα τὰ δένδρα ἐφύτευες; – Ναί. – 9. Ἆρ' ἐμοὶ πιστεύεις; – Ναί. – 10. Πότερον ἄφρων ἢ ἔμφρων ἐστί; – 11. Τίνι φέρετε ταῦτα τὰ καλὰ δῶρα; – 12. Ποτέρου ἥδε ἡ χλαμύς ἐστιν; – Τούτου τοῦ νεανίου. – 13. Ἀγησίλαος ἔλεγε· Οἱ Λακεδαιμόνιοι οὐ φροντίζουσιν ποῖοι καὶ πόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλὰ ποῦ.

TEMA

1. ¿Qué me aconsejas? — 2. ¿Cuál de los dos generales conduce la expedición? — 3. ¿Qué filósofo fue discípulo de Sócrates? — 4. ¿Cómo se llamaba (= qué nombre era a...) el general de los espartanos en las Termópilas? — 5. ¿Qué cosas pide este hombre? — 6. ¿Quién es más célebre, César o Alejandro? — 7. ¿Es que confías mucho en mí? — Sí. — 8. ¿Es que éste es aquél de (περί y *gen.*) quien hablábamos? — Sí. — 9. Es éste o aquél el libro de tu hermano? — Aquél. — 10. ¿Para cuál de los dos fue el premio? — Para este atleta.

Pronombres indefinidos

(Gr. §§ 122-125)

VOCABULARIO

Substantivos

ἡ ἐλπίς, ίδος	*esperanza*	ἡ ὀσμή, ῆς	*olor*
ἡ ἐσθής, ῆτος	*vestido*	ἡ πήρα, ας	*alforja*
ἡ εὐεξία, ας	*buena constitución*	ὁ πόρος, ου	*paso, camino*
τὸ κάλλος, ους	*belleza*	ὁ ξένος, ου	*extranjero*
ὁ κύων, κυνός	*perro*	ὁ φόβος, ου	*miedo, temor*
τὸ δῶρον, ου	*don, regalo*	ἡ ὑγίεια, ας	*salud*
τό μάθημα, ατος	*ciencia*	ἡ ὑψηλότης, τητος	*altura*
ἡ νόσος, ου	*enfermedad*	ἡ χείρ, χειρός	*mano*

Adjetivos

ἄ-τοπος, ος, ον	*extraño*	ὑψηλός, ή, όν	*alto, elevado*
ἐχθρός, ά, όν	*enemigo*	ψευδής, ής, ές	*falso*

Verbos

δάκνω	*morder*	πρέπω	*convenir*
κατα-φρονέω-ῶ	*despreciar* (g.)	τείνω	*extender*
κρούω	*golpear*	ὑπερ-έχω	*sobrepasar*
μετρέω-ῶ	*medir*	φθείρω	*destruir*
μένω	*aguardar*	φροντίζω	*meditar*

Palabras invariables

ἐκτός (adv., prep. de gen.) *fuera, fuera de, aparte de*

ἐπί (prep.) con acus., *sobre, contra*; con gen., *sobre, en*; con dat., *sobre, por causa de*

μάλιστα (adv.) *muchísimo, completamente, en gran manera, sobre todo*

ὑπό (prep.) con acus. y dativo, *bajo*; con gen., *bajo, por, por causa de*

> No olvidar que εἷς, μία, ἕν significa *uno, uno solo, único* (lat. **unus**), mientras que τις significa *uno, alguno, cierto* (lat. **quis, aliquis, quidam**).

VERSIÓN

1. Κρούει τις τὴν θύραν· τίς οὗτός ἐστι; — 2. Ἑκάστῳ τῶν ἐμῶν φίλων δῶρον πέμπω. — 3. Δοῦλος ἕκαστος ἐν φόβῳ ἦν. — 4. Ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος κάλλους; — 5. Ἀρετὴ ὑγίειά τέ τίς ἐστι καὶ κάλλος καὶ εὐεξία ψυχῆς. — 6. Οὐδεμία σωτηρίας ἐστὶν ἐλπίς. — 7. Ἐν Ἅιδου ὁ Αἰακὸς μετρεῖ ἑκάστῳ τὸν τόπον. — 8. Ἀεὶ μάνθανέ τι παρά του. — 9. Τίνος εἰσὶν οὗτοι οἱ κύνες; — Ξένου τινός. — 10. Τί φροντίζεις; — Οὐδέν. — Τίνα δὲ μένεις; — Οὐδένα. — 11. Σωκράτης οὐδενὸς καταφρονεῖ, οὐδένα βλάπτει. — 12. Ἑκάστῳ ἡμῶν κακόν τί ἐστι. — 13. Ἐπὶ τῷ κέρατι ἑκατέρῳ οἱ ἱππεῖς ἦσαν. — 14. Πενίαν φέρειν οὐ παντὸς ἀλλ' ἀνδρὸς σοφοῦ.

Significados de ἄλλος

ἄλλος	*otro*	**alius**	ὁ ἄλλος	*restante*	**reliquus**
ἄλλοι	*otros*	**alii**	οἱ ἄλλοι	*los demás*	**ceteri**

ἄλλοι ἄλλα λέγουσιν *unos dicen una cosa, otros otra* **alii alia dicunt.**

VERSIÓN

1. Διογένης ἔλεγεν· «Οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους». — 2. Τῶν Ἑλλήνων οἱ μὲν ὑπ' Ἀθηναίοις, οἱ δ' ὑπὸ Λακεδαιμονίοις ἦσαν. — 3. Μὴ τήνδε τὴν χεῖρα τεῖνε, ἀλλὰ τὴν ἑτέραν. — 4. Ὥσπερ ἐσθὴς ἄλλη μὲν γυναικί, ἄλλη δὲ ἀνδρὶ καλή, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν ἀνδρί, ἄλλη δὲ γυναικὶ πρέπει. — 5. Ἄλλα ἄλλοις ἐστὶν ἡδέα. — 6. Οἱ στρατιῶται γνώμας ἄλλοι ἄλλας ἔλεγον. — 7. Εἰς τὴν ἄλλην Σικελίαν πέμπουσιν τὴν στρατιάν. — 8. Μὴ πίστευε μηδετέρῳ τῶνδε ψευδῶν ἀνδρῶν. — 9. Ἄλλοι λέγουσι καὶ ἄλλους τινὰς πόρους εἶναι. — 10. Τὸ τεῖχος ὑψηλότατόν ἐστιν· οὐδὲ δύο ἄνθρωποι, ὁ ἕτερος ἐπὶ τῷ ἑτέρῳ, τὴν ὑψηλότητα αὐτοῦ ὑπερέχουσιν.

TEMA

1. Ninguna ciudad fué nunca más ilustre que Atenas. — 2. Creen algunos que la riqueza es mejor que la virtud. — 3. Darío y Jerjes fueron poderosos; cada uno de ellos fue causa de grandes desgracias para el imperio persa. — 4. Ulises dijo (εἶπεν) al cíclope Polifemo: «Mi nombre es: Nadie». — 5. Los unos piensan una cosa, los otros otra. — 6. Ninguno de estos dos caminos conduce a la ciudad. — 7. Clearco y los otros generales griegos estaban al lado de (παρῆσαν *con dat.*) Ciro. — 8. Los hoplitas destruyen los restos del ejército persa. — 9. ¿Quién de los dos es el general? — Ni el uno ni el otro. — 10. Los demás soldados aguardaban al guía.

RECAPITULACIÓN

Las dos alforjas

Ἀνθρώπων ἕκαστος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν. Γέμει δὲ κακῶν ἑκατέρα· ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος [1]. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι [2], τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται [3].


ESOPO

[1] φέροντος *del que (la) lleva*, participio presente de φέρω. — [2] ὁρῶσι, 3.ª persona plural del pres. indic. de ὁράω-ῶ *ver*. — [3] θεῶνται, 3.ª persona plural del presente indicativo medio de θεάομαι-ῶμαι *contemplar*, *observar*.

EJERCICIO DE ETIMOLOGÍA

Formar y *explicar* las palabras castellanas derivadas de las palabras griegas siguientes:

Ἄλλος y τρόπος *manera*. — Ἄλλος y ἀγορεύω *hablar*. — Ἕτερος y γένος *especie*. — Ἕτερος y δόξα *opinión*. — Ἕτερος y κλίνω *inclinar*. — Μάθημα. — Πόρος. — Φόβος y ὕδωρ *agua*. — Φόβος y ξένος *extranjero*. — Φόβος y φῶς, φωτός *luz*. — Χείρ *mano* y ἔργον *obra*, *trabajo*.



Carro de carreras
De un vaso del siglo VI a. C.



El teatro de Epidauro, del siglo IV a. C. — (Vid. pág. 161)

CONJUGACION

El verbo εἰμί

(Gr. § 134)

VOCABULARIO

Sustantivos

ἡ ἀριστερά (χείρ) *la mano izquierda*
ἡ δεξιά (χείρ) *la mano derecha*
τὸ ἆθλον, ου *premio de la lucha*
τὸ ἁμάρτημα, ατος *falta, error*
τὸ γέρρον, ου *escudo de mimbre*
ὁ ἑρμηνεύς, έως *intérprete*
ὁ κίνδυνος, ου *peligro*
ἡ μάχαιρα, ας *espada, cuchillo*
ὁ μισθοφόρος, ου *mercenario*
ὁ ὄρθρος, ου *aurora*
τὸ σημεῖον, ου *signo, marca*
ὁ στέφανος, ου *corona*
ὁ χρυσός, ου *oro (metal)*
τὸ χρυσίον, ου *moneda u objeto de oro*

Adjetivos

ἀ-γνώμων, ων, ον *insensato*
ἄγριος, α, ον *silvestre*
ἀριστερός, ά, όν *izquierdo*
δεξιός, ά, όν *derecho*
ἐλεύθερος, α, ον *libre*
ἐναντίος, α, ον *opuesto, contrario*
κακο-δαίμων, ων, ον *desgraciado*
κοινός, ή, όν *común*
φιλό-πονος, ος, ον *laborioso*
σύμ-μαχος, ος, ον *aliado*

Significados de εἰμί

1. Εἰμί con *genitivo* significa *ser propio de, es deber de.*
2. Εἰμί con *dativo* significa *estar a disposición de* (Vid. pág. 29)

I. El presente y el imperfecto

VERSIÓN

1. Ἐλευθέρου ἀνδρός ἐστι τὰ ἀληθῆ λέγειν. — 2. Αἴσωπος ἔλεγε ἑκάστῳ ἡ ἡμῶν εἶναι δύο πήρας, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· ἐν μὲν γὰρ τῇ ἔμπροσθεν ἐστι τὰ τῶν ἄλλων ἁμαρτήματα, ἐν δὲ τῇ ὄπισθεν τὰ ἡμῶν αὐτῶν. — 3. Ἀλκιβιάδης, νέος ὤν, ἀγνωμονέστατος ἦν. — 4. Τοῖς μὲν πολεμίοις ἐναντίοι εἶεν οἱ θεοί, ἡμῖν δὲ σύμμαχοι. — 5. Οἱ ὄντες ἀγαθοί εἰσι καὶ εὐδαίμονες. — 6. Οἱ Ἑλληνικοὶ μισθοφόροι πιστοὶ ἦσαν τῷ Δαρείῳ, ᾧ δ' ὅμως οὐκ ἦσαν αἱ στρατηγοῦ ἀρεταί. — 7. Ἐγὼ νομίζω κοινόν ἐχθρὸν πάντων τῶν Ἑλλήνων εἶναι βασιλέα. — 8. Εὐδαίμων εἴην, καὶ θεοῖς φίλος ἀθανάτοις. — 9. Ἕλληνες, ἀεὶ ἀνδρεῖοι ἔστε. — 10. Μαθητὴς ὤν, τίε τοὺς διδασκάλους. — 11. Μέτρον τῷ δικαστῇ οὐχ ἡ ψυχή, ἀλλ' ὁ νόμος ἔστω. — 12. Δίδωμι *(yo doy)* τέ σοι τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν· θεοὶ δὲ ἡμῖν μάρτυρες ὄντων. — 13

Ἀεὶ κράτιστόν ἐστι τὰ ἀληθῆ λέγειν
ἐν πάντι καιρῷ.

II. El futuro

VERSIÓN

1. Αἱ σπουδαῖαι θεράπαιναι τῇ δεσποίνῃ φίλαι ἔσονται. — 2. Ὦ δέσποτα, σπουδαῖοι ἐσόμεθα θεράπαιναι. — 3. Καλαὶ τε καὶ λαμπραὶ ἔσονται αἱ τῶν στρατιωτῶν νίκαι. — 4. Τὸ δῶρον ἔσται τιμῆς σημεῖον. — 5. Ἑκάστῳ ἔσται γέρρον μὲν ἐν τῇ ἀριστερᾷ, μάχαιρα δὲ ἐν τῇ δεξιᾷ. — 6. Φιλόπονος ἴσθι καὶ εὐδαίμων ἔσει. — 7. Οἱ στέφανοι οὐκ ἴων ἢ ῥόδων ἔσονται, ἀλλὰ χρυσίου. — 8. Πάντες οἱ ἐσόμενοι ἐν τῷ τῆς μάχης κινδύνῳ, φίλτατοι ἔσονται τῇ πατρίδι. — 9. Ἐπεὶ δὲ ὄρθρος ἦν, Ξενοφῶν ἥκει πρὸς Χειρίσοφον καὶ λέγει ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι. — 10. Παῖς ὤν, εὐσεβὴς ἴσθι, καὶ θεοὶ ἀεὶ ἔσονται σοὶ εὖνοι.

TEMA

1. Si tú eres (= siendo) honrado, serás feliz. — 2. Vosotros seréis amos de toda Italia. — 3. Tú dices que este joven será célebre (*oración de infinitivo*). — 4. Sed aplicados y seréis sabios. — 5. Nosotros seremos felices, si somos (= siendo) justos y piadosos. — 6. Siendo mala, ella será desgraciada. — 7. Brillante gloria esperará a los soldados que serán (*participio*) valientes en el combate.

Verbos compuestos de εἰμί

VOCABULARIO

Verbos

ἄπ-ειμι	*estar ausente*	περί-ειμι	*ser superior*
πάρ-ειμι	*estar presente*	πρόσ-ειμι	*estar cerca de*
ἔν-ειμι	*estar en, haber*	σύν-ειμι	*estar en compañía de*
μέτ-ειμι	*intervenir*	ὕπ-ειμι	*estar debajo de*

Verbos compuestos impersonales de εἰμί

ἔν-εστι	*es posible*
ἔξ-εστι	*es lícito*
πάρ-εστι	*es posible*

Substantivos

ἡ αἰσχύνη, ης	*vergüenza*	ὁ κάλαμος, ου	*caña*
ὁ ἀριθμός, οῦ	*número*	ἡ κώμη, ης	*pueblo, aldea*
ἡ βία, ας	*fuerza, violencia*	ὁ νεκρός, οῦ	*muerto, cadáver*
ἡ δειλία, ας	*cobardía*	ἡ συσ-σιτία, ας	*comida en común*
ἡ ἔχθρα, ας	*odio*	ὁ ὑός, ὑοῦ	*hijo*
ὁ καιρός, οῦ	*ocasión*	ἡ ὠτίς, ὠτίδος	*avutarda* (ave)

Palabras invariables

εἰ (conj.) *si*; — εἰ μή *si no*	παρά (prep. acus.) *a lo largo de*
εἴθε (conj. con optativo) *¡ojalá!*	οὐκοῦν (conj.) *así pues*

El complemento de los compuestos de εἰμί

El complemento de ἄπειμι y de περίειμι va en *genitivo*. El de los demás compuestos de εἰμί va en *dativo*

VERSIÓN

1. Παρέστω ἡμῖν ὁ κῆρυξ. — 2. Ἐνῆσαν κῶμαι πολλαὶ ἐν τῷ πεδίῳ παρὰ τὸν Εὐφράτην ποταμόν. — 3. Τῇ βίᾳ πρόσεισιν ἔχθραι τε καὶ κίνδυνοι. — 4. Οὐκ ἐξῆν ἐν Σπάρτῃ τοῖς δειλοῖς τῇ συσσιτίᾳ μετεῖναι. — 5. Οὐκ ἔξεστι τάδε λέγειν. — 6. Οὐκ ἔνεστι τὸν τοῖς πονηροῖς ἀεὶ συνόντα ἀγαθὸν εἶναι. — 7. Παρῆσαν τότε οἱ πολέμιοι καὶ περιῆσαν τῷ ἀριθμῷ. — 8. Οὐκοῦν, ὦ Ἀλέξανδρε, οὐ τοῦ Ἄμμωνος, ἀλλὰ τοῦ Φιλίππου υἱὸς ὤν, τοῖς νεκροῖς συνεῖ. — 9. Εἴθε συνέσοιο ἀεὶ τοῖς ἀγαθοῖς ἑταίροις. — 10. Τοὺς μὲν παρόντας φίλους νομίζω, τοὺς δ' ἀπόντας ἐχθρούς. — 11. Εἰ κακοῖς συνεῖ, αὐτὸς ἔσει κακός. — 12. Τὰ Μέγαρα οὐ πολὺ ἀπῆν τῶν Ἀθηνῶν.

TEMA

1. En la ciudad *había* muchos hoplitas. — 2. En Homero los dioses algunas veces toman parte en los combates. — 3. Los griegos fueron superiores en valor (*dat.*) a los persas en las batallas de Maratón, Salamina y Platea. — 4. La vergüenza acompaña (= está cerca de) a la cobardía. — 5. ¡Ojalá fueses siempre laborioso y diligente! — 6. Frecuenta (= está tú con) los amigos prudentes y aplicados; apártate (= auséntate) de los imprudentes y perezosos. — 7. Que los traidores estén lejos de la patria. — 8. No es posible decir siempre la verdad.

RECAPITULACIÓN

La región del Eufrates

Ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὸν ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμου, ἅπαντα ἦν εὐώδη ὥσπερ ἀρώματα· δένδρον δ' οὐδὲν ἐνῆν, θηρία δὲ παντοῖα, πλεῖστοι μὲν ὄνοι ἄγριοι, πολλαὶ δὲ στρουθοί,

ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες. Ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον· ὄνους δὲ καὶ ὠτίδας ἐλάμβανον. Τὰ μὲν κρέα τῶν ὄνων ἦν παραπλήσια τοῖς ἐλαφείοις, ἁπαλώτερα δέ· τὰ δὲ κρέα ὠτίδων ἥδιστα ἦν.

JENOFONTE

Máximas

1. Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
2. Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.
3. Μήτε εὐήθης ἴσθι, μήτε κακοήθης.
4. Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
5. Ἀναφαίρετον κτῆμά ἐστι παιδεία βροτοῖς.
6. Προπέτεια πολλοῖς ἐστι κρήνη κακῶν.
7. Ἡ γλῶττα πολλῶν ἐστιν αἰτία κακῶν.
8. Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
9. Βεβαία ἐστὶν ἀρετῆς ἡ κτῆσις μόνη.
10. Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερος.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las siguientes palabras:

Onagro — Pandora — panacea (ἄκος *remedio*) — aritmética — aromático — monopolio (πωλέω-ῶ *vender*) — crisolita — necrópolis — semáforo — Esteban — símbolo — ortopedia.



•Ἀπόλλων ἀργυρότοξος
Apolo el del arco de plata
HOMERO

1. Ὁ Διογένης, ἐρωτηθεὶς τί ἐστι κάλλιστον ἐν τῷ ἀνθρώπῳ· «ἡ παρρησία» εἶπε (*dijo*). — 2. Ὦ ἄνδρες Ἀθηναῖοι, ἔλεγε Δημοσθένης, νικηθήσεσθε οἰκτρῶς, εἰ οὕτως ἀπατηθήσεσθε τῇ γοητείᾳ τοῦ Φιλίππου. — 3. Ἡ τῶν Ἀθηναίων πόλις τοῖς τοῦ Σόλωνος νόμοις ἐκυβερνᾶτο. — 4. Οἱ βάρβαροι ἐνικήθησαν ὅτι πρὸς τοὺς Ἕλληνας ἀσκέπτως ὡρμήσαντο. — 5. Αἱ πόλεις, αἳ ὑπ' ἀγαθῶν ἀρχόντων κυβερνηθήσονται, τοὺς συμμάχους οὐ λωβήσονται. — 6. Φίλους μὲν κτᾶσθαι ῥᾴδιόν ἐστι, διασῴζειν δὲ χαλεπώτερον. — 7. Τὰ ὑπὸ τοῦ Λεωνίδου τετολμημένα θαυμάζουσι πάντες. — 8. Οἵτινες τοὺς ἄλλους γελῶσι, πολλάκις αὖθις γελῶνται. — 9. Δίκαιόν ἐστι τοὺς μεγάλα χρήματα κτησαμένους καὶ πολλὰ δαπανᾶν εἰς τὸ τιμᾶν τοὺς θεούς. — 10. Τοῖς νενικημένοις σήμερον ἐλπίς ἐστι τοῦ νικήσειν αὔριον. — 11. Λέγεται (*dicitur*) τοὺς Συβαρίτας ἐπὶ φύλλων ῥόδων κοιμήσασθαι. — 12. Ἐν πολέμῳ τὰ τῶν νικωμένων ἐστι τῶν νικώντων. — 13.

Γλώττης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

TEMA

1. Jerjes contempló la batalla de Salamina. — 2. Que sean para los vencedores (*part. aor. act.*) los bienes de los vencidos. — 3. Protágoras era honrado por los de Crotona como un dios. — 4. Admiramos las ciudades que son gobernadas (*part.*) por buenos magistrados. — 5. El heraldo fue interrogado por todos los allí presentes. — 6. Atenas fue saqueada por los persas. — 7. Si hubiese sido interrogado, habría dicho la verdad. — 8. Sócrates fue acusado de impiedad (*acus.* o *gen.*) — 9. Tebas fue saqueada por el ejército de Alejandro.

RECAPITULACIÓN

El niño que se bañaba

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἔμελλεν ἀποπνίγεσθαι. Ὁρῶν δὲ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ δὲ μειράκιον εἶπε (*dijo*) πρὸς αὐτόν· «ἀλλὰ νῦν με σῷζε, ὕστερον δὲ ἐμοὶ μέμφου».

Esopo

EJERCICIO DE DERIVACIÓN Y ETIMOLOGÍA

1. *Estudiar* la formación y el significado propio de cada una de las palabras que componen la siguiente familia:

Ἡ θέα, ας *visión, espectáculo:*

θεάομαι-ῶμαι	*contemplar*	τὸ θέατρον, ου	*teatro*
τὸ θέαμα, ατος	*espectáculo*	θεωρέω, -ῶ	*contemplar, observar*
ὁ θεατής, ου	*espectador*	ἡ θεωρία, ας	*contemplación; fiesta*
θεατός, ή, όν	*visible*	τὸ θεώρημα, ατος	*estudio*

2. *Dar* el significado etimológico de las siguientes palabras:

Gobernador, gobernalle — cibernética — ágape — panorama teatro, anfiteatro, teoría, teorema — hagiografía, sibarita, coma.

...μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν
...así no hay lucha más gloriosa que la de Olimpia
Píndaro, Olímpica I



Un vencedor olímpico
De un vaso ático, siglo V a. C.

II. Verbos en -εω

(Gr. § 163-164)

ACTIVA

VOCABULARIO

Verbos

ἀκολουθέω	*acompañar*
ἀλγέω	*tener dolor*
ἀσκέω	*ejercitar*
ἀ-τυχέω	*ser infeliz*
εὐ-τυχέω	*ser feliz*
δοκέω	*parecer*
ἐλεέω	*tener piedad (de,* ac.*)*
ἐπι-θυμέω	*desear*
καρτερέω	*soportar*
κατα-φρονέω	*despreciar* (g.)
κινέω	*mover*
κρατέω	*mandar, apoderarse de* (g.)
λαλέω	*hablar, charlar*
μισέω	*odiar*
ὀκνέω	*vacilar*
ποιέω	*hacer*
φιλέω	*amar*
φοβέω	*aterrar, hacer huir*

Substantivos

ὁ δάκτυλος, ου	*dedo*
τὸ εὖρος, ους	*anchura*
τὸ ἦθος, ους	*carácter*
ἡ μετά-νοια, ας	*arrepentimiento*
ὁ νεανίσκος, ου	*joven, mozo*
τὸ πλέθρον, ου	*pletro* (29,60 m)
τὸ πλοῖον, ου	*barca, nave*
ὁ τάφρος, ου	*fosa, trinchera*

Adjetivos

αἰσχρός, ά, όν	*feo*
ἴδιος, α, ον	*particular*
μέσος, η, ον	*medio*
πρᾶος, εῖα, ον	*suave, manso*
ὅλος, η, ον	*todo, entero*
ὠκύς, εῖα, ύ	*veloz, ligero*

EJERCICIO DE APLICACIÓN

Analizar y *traducir*:

φιλοῦμεν — ἐπιτεθύμηκας — ἐμίσουν — ἠτύχεις — φοβήσομεν — ἠλεήσατε — ἐδοκεῖτε — ἐμίσησαν — φιλούντων — ἀσκήσειας — ὀκνοίης ἄν — πεφιληκέναι — ἄσκησον — κινοῦσι — φοβῆσαι — ἀτυχήσειας ἄν — καταφρονοῦντες — ὀκνοῦσαι — πεφιληκότων — ἀσκήσειν

Acusativo de relación

El acusativo de relación determina y precisa la parte a que se refiere la significación del verbo o nombre con que se construye, o *en relación a qué, bajo qué punto de vista* una afirmación es verdadera.

Ej.: Ἀλγεῖ τὴν κεφαλήν — *tiene dolor de cabeza*
Παρθένος καλὴ τὸ εἶδος — *virgen hermosa de figura*

EJERCICIO DE APLICACIÓN

Traducir las frases y expresiones siguientes:

Βέλτιόν ἐστι σῶμα ἢ ψυχὴν νοσεῖν. — Παῖς πρᾶος τὸ ἦθος. — Τάφρος τριῶν ποδῶν τὸ εὖρος. — Νεανίσκος καὶ τὸ εἶδος καὶ τὴν ψυχήν. — Ἀλέξανδρος τὸ ὄνομα. — Ἀθηναῖος τὸ γένος. — Ἀχιλλεὺς πόδας ὠκύς — Τὸν δάκτυλον ἀλγεῖ. — Διὰ μέσης τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα, εὖρος δύο πλέθρων.

VERSIÓN

1. Εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ὁ δὲ πόλεμος μέγα κακόν. — 2. Κύριε, ἐλέησον ἡμᾶς. — 3. Μισεῖς σύ, ἀλλ' οὐ μεῖον μισοῦμεν ἡμεῖς τοὺς βαρβάρους. — 4. Ὅστις τῶν ἡδονῶν καταφρονεῖ, τοῦτον οὐ φοβεῖ ὁ θάνατος. — 5. Ἀεὶ τὴν ἀρετὴν φιλοῖτε καὶ τὴν κακίαν μισοῖτε. — 6. Ἀτυχούσης τῆς πατρίδος, πῶς οἱ ἀγαθοὶ πολῖται ἂν ὀκνοῖεν τὰς ἰδίας λύπας καρτερῆσαι; — 7. Τὸν Ὀρφέα λέγεται ᾄδοντα κινῆσαι τούς τε λίθους καὶ τὰ δένδρα. — 8. Ὁ αὐτὸς ἴσθι τῷ φίλῳ εὐτυχοῦντι ἢ ἀτυχοῦντι. — 9. Μισεῖ τὸ ταχὺ λαλεῖν· μετάνοια γὰρ ἀκολουθεῖ. — 10. Οἱ Σπαρτιᾶται τὰ σώματα ἤσκουν καὶ τοῦ θανάτου κατεφρόνουν καὶ τῆς δόξης ἐπεθύμουν. — 11. Πολλάκις μὲν ἐκράτησας τῶν πολεμίων, τί δ' οὐ σεαυτοῦ κρατεῖς; — 12. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

TEMA

1. Ten piedad de los desgraciados (*acus.*). — 2. Me parece feo el hablar mucho y no hacer nada. — 3. Soportemos varonil-

mente las adversidades. — 4. Los griegos odiaban a los persas. — 5. El hombre malo es infeliz, aun cuando sea feliz. — 6. Si el piloto está enfermo (= estando enfermo el piloto, *gen. absoluto*), toda la nave peligra. — 7. Los soldados de Jerjes se apoderaron de Atenas.

PASIVA Y MEDIA

VOCABULARIO

Verbos

αἱρέω	*coger*; med. *elegir*	οἰκοδομέω	*edificar*
αἰτέω	*pedir*	πολι-ορκέω	*sitiar una ciudad*
βοηθέω	*ayudar*	στρατηγέω	*maniobrar*
ἐπαινέω	*alabar*	ἐπι-μελέομαι	*tener cuidado de* (g.)
κοσμέω	*ordenar, adornar*	ἡγέομαι	*guiar*; *creer* (l. duco)
λυπέω	*afligir*	μιμέομαι	*imitar*
οἰκέω	*habitar*	φοβέομαι	*temer*

Substantivos

ὁ γονεύς, έως	*padre*; pl. *padres*	ὁ λιμήν, ένος	*puerto*
ἡ εἰκών, όνος	*imagen*	ὁ νόμος, ου	*ley*
ἡ ζημία, ας	*pena, multa*	ἡ στρατεία, ας	*expedición*
τὸ κέρδος, ους	*ganancia*	τὸ τέλος, ους	*fin*
ὁ κόσμος, ου	*orden, mundo*	ὁ τρόπος, ου	*manera, carácter*

Adjetivos

κοινός, ή, όν	*común*	πολυ-τελής, ής, ές	*suntuoso*
πιστός, ή, όν	*fiel, dócil*	σεμνός, ή, όν	*venerable*

Palabras invariables

ἅπαξ (adv.)	*una vez*	λόγῳ... ἔργῳ (loc. adv.)	*de palabra... de hecho*
δήπου (adv.)	*sin duda*		

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

ἡγοῦνται — φοβεῖ — μιμεῖται — πεφόβηνται — ἐκοσμήθητε — λυπεῖ — μὴ φοβῆσθε — κοσμοῖσθε — φοβησάμενος — ἡγήσασθε ἄν — μιμῶνται — ἐφοβοῦντο — οἰκοδομεῖσθε — λυπηθήσονται — κοσμοῖντο ἄν — ἡγήσασθαι — κοσμηθείς — κρατησόμεθα — ᾑρεῖσθε

VERSIÓN

1. Οἱ νόμοι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελοῦνται. — 2. Οἱ φιλοῦντες φιλοῦνται, οἱ δὲ μισοῦντες μισοῦνται. — 3. Μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους. — 4. Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονέας τίμα, τοῖς δε νόμοις πείθου. — 5. Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ λυπήσει, τὸ δὲ ἀεί. — 6. Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας. — 7. Δημοσθένης τοῖς Ἀθηναίοις ἔλεγε· «Στρατηγοὺς αἱρεῖσθε καὶ λόγῳ οὐκ ἔργῳ στρατείας ποιεῖσθε· σρατηγεῖσθε δ'ὑπὸ Φιλίππου». — 8. Ἡ πόλις τῶν Συρακουσίων λιμέσιν ἐκεκόσμητο μεγίστοις. — 9. Πᾶσα ἡ γῆ ἐκινήθη καὶ οἱ ἄνθρωποι τὸ τέλος τοῦ κόσμου ἐφοβήσαντο. — 10. Ἡ πόλις ᾠκοδομήθη ὑπὸ Περικλέους πολλὰ καὶ πολυτελῆ ἱερὰ καὶ καλλίσταις εἰκόσιν ἐκοσμήθη. — 11. Οὐκ ἀμελεῖται ὑπὸ τῶν θεῶν τὰ ἀνδρὸς ἀγαθοῦ πράγματα.

TEMA

1. Los romanos imitaron el gobierno de los espartanos. — 2. Si (ἐάν y *subj.*) imitas las obras de los buenos, serás sin duda feliz. — 3. Los justos no temen la muerte. — 4. Conviene tener más cuidado del alma que del cuerpo. — 5. Se dice (λέγεται y *oración de inf.*) que Troya fue sitiada [durante] diez años (*acus.*) por los griegos.

RECAPITULACIÓN

Diógenes y los corintios

Ὁπότε ὁ Φίλιππος ἐλέγετο [1] ἤδη ἐπελαύνειν, οἱ Κορίνθιοι πάντες ἐταράττοντο καὶ ἐν ἔργῳ ἦσαν, ὃ μὲν ὅπλα ἐπισκευάζων, ὃ δὲ

ἐλέγετο ἐπελαύνειν, construcción personal en vez de ἐλέγετο τὸν Φίλιππον *decía que Filipo avanzaba* (cf. latín dicuntur hostes venire).

λίθους παραφέρων, ὃ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὃ δὲ ἄλλος ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης, ὁρῶν ταῦτα, σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ᾤκει, ἄνω καὶ κάτω τοῦ Κρανείου. Καί τινος τῶν συνήθων ἐρωτήσαντος· «Τί ταῦτα ποιεῖς, ὦ Διόγενες»; —«Κυλίω, ἔλεγε, κἀγὼ [2] τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκῶ [3] ἐν τοσούτοις ἐργαζομένοις».

LUCIANO

[2] κἀγώ, crasis, por καὶ ἐγώ. — [3] ἀργεῖν δοκῶ construcción personal como en el número 1, por δοκῶ με ἀργεῖν.

EJERCICIO DE DERIVACIÓN Y ETIMOLOGÍA

1. *Estudiar* las siguientes familias de palabras observando la formación y el significado propio de cada una de ellas:

Ὁ κόσμος, ου *orden, ornato; mundo* (lat. **mundus**):


κοσμέω-ῶ *adornar*	ὁ κοσμητής, οῦ *que ordena, adorna*
ἡ κόσμησις, εως *acción de adornar*	κοσμικός, ή, όν *del mundo*

Ποιέω *hacer, crear*

ἡ ποίησις, εως *creación*	ὁ ποιητής, οῦ *creador, poeta*
τὸ ποίημα, ατος *obra*	ποιητικός, ή, όν *poético*

2. *Dar* el significado etimológico de las siguientes palabras:

acólito — neuralgia, cefalalgia — ascética — Eulalia — misántropo, misógino — poesía, poema, poeta, onomatopeya, etopeya — cinematógrafo — dactilografía — hidrófobo, fobia — mímica, mimetismo, mimético — cosmogonía, cosmopolita, cósmico, cosmética — dactilar — ataraxia — analgésico — telón.



Capiteles dórico, jónico y corintio

III. Verbos en -όω

(Gr. §§ 165-166)

ACTIVA

VOCABULARIO

Verbos

ἀξιόω	*juzgar digno*	ζηλόω	*envidiar, rivalizar*
ἀμαυρόω	*ofuscar, destruir*	μαστιγόω	*azotar*
γυμνόω	*desnudar*	ὁμοιόω	*comparar* (dat.)
δεσμόω	*encadenar*	πληρόω	*llenar*
δηλόω	*mostrar*	στεφανόω	*coronar*
δουλόω	*esclavizar*	τελειόω	*llevar a cabo*
ἐλευθερόω	*libertar*	τυφλόω	*cegar*

Substantivos

τὸ εὕρημα, ατος	*invento*	ὁ τάφος, ου	*sepulcro*
ἡ λήθη, ης	*olvido*	ἡ ὑπερη-φανία, ας	*orgullo*
ἡ πρᾶξις, εως	*acción*	ὁ φιλ-άργυρος, ου	*avaro*

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

ζηλοῦμεν — μαστιγῶμεν — ἠλευθεροῦτε — ἐδήλωσαν — ἠλευθερώκαμεν — μαστιγώσειε ἄν — γυμνώσετε — τελειῶσαι — μὴ ζηλώσητε — ἐλευθερώσασαι — ζηλοῦσι — τυφλοῦν — τοῖς τελειοῦσι — ἐλευθεροῖτε — γυμνώσῃς — ζηλώσουσι — τετυφλώκοιεν — δουλοῦν — ἠξίωσα

VERSIÓN

1. Χρόνος πάντα ἀμαυροῖ καὶ εἰς λήθην ἄγει. — 2. Ὁ λόγος δηλοῖ ὅτι οὐ πάντες πρὸς ταὐτὰ πεφύκασιν. — 3. Ὧν τὴν δόξαν ζηλοῖς τούτων μιμοῦ τὰς πράξεις. — 4. Οἱ Ἕλληνες πᾶσαν τὴν Ἑλλάδα

ἀπὸ τῶν βαρβάρων ἠλευθέρωσαν. — 5. Ἀλέξανδρος ἐν Ἰλίῳ τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε. — 6. Νόμος μέν ἐστι παρ' ὑμῖν στεφανοῦν τοὺς ἐν ἀγῶσι νικήσαντας· τί δ'οὐκ ἂν στεφανοῖτε καὶ τοὺς σοφοὺς ἄνδρας, τοὺς καλὰ εὑρήματα τελειοῦντας; — 7. Μὴ τυφλώσειέ σε ἡ ὑπερηφανία. — 8. Οἱ πολέμιοι τοὺς αἰχμαλώτους γυμνώσαντες ἐμαστίγωσαν. — 9. Οὐ δεῖ τὰ μικρὰ τοῖς μεγάλοις ὁμοιοῦν. — 10. Πάντες οἱ τῆς γῆς θησαυροὶ οὐκ ἂν πληροῖεν τὸν τοῦ φιλαργύρου θυμόν. — 11. Ὀδυσσεὺς τὸν Κύκλωπα ἐτύφλωσε καὶ τοὺς ἑταίρους ἠλευθέρωσεν.

12. Αὐτὴ σὺ δουλοῖς καὶ σε καὶ πᾶσαν πόλιν.
13. Τῇ ἀνάγκῃ δουλούμεθα πάντες

TEMA

1. Encadenaron y azotaron a los prisioneros. — 2. Libertemos el alma de (ἀπό) la esclavitud de las pasiones. — 3. ¡Ojalá no te ciegue el orgullo! — 4. Emula, hijo, a los hombres justos y prudentes. — 5. No envidies a los ricos. — 6. Homero comparó los hombres a las hojas de los árboles. — 7. Los persas sometieron los jonios a esclavitud.

PASIVA Y MEDIA

VOCABULARIO

Verbos

ζημιόω	*castigar, multar*	ταπεινόω	*bajar, humillar*
κληρόω	*elegir por suerte*	δεξιόομαι	*acoger*
ξενόω	*hospedar*	θυμόομαι	*irritarse*
ὑψόω	*elevar, ensalzar*	χειρόομαι	*someter*

Substantivos y adjetivos

ἡ ἀκτή, ῆς	*costa*	ὁ ὁδοι-πόρος, ου	*viajero*
ἡ δάφνη, ης	*laurel*	ἡ τιμωρία, ας	*castigo, venganza*
ἡ κραυγή, ῆς	*clamor*	ἡ φοῖνιξ, ικος	*palmera*
ὁ νησιώτης, ου	*isleño*	ἀν-αίτιος, ος, ον	*inocente*

VERSIÓN

1. Ὁ τρόπος τῶν ἀνθρώπων δηλοῦται οὐκ ἐκ τῶν λόγων, ἀλλ' ἐκ τῶν ἔργων. — 2. Πανταχοῦ οἱ προδόται θανάτῳ ζημιοῦνται. — 3. Πλάτων ἔλεγε πρός τινα τῶν παίδων· «Ἂν ἐμαστίγου σύ, εἰ μὴ ἐθυμούμην ἐγώ». — 4. Ὁ Πολύφημος, ὑπ' Ὀδυσσέως τυφλούμενος, τοὺς Κύκλωπας παρεκάλει, καὶ πᾶσα ἡ ἀκτὴ ταῖς κραυγαῖς αὐτοῦ ἐπληροῦτο. — 5. Οὐκ ἂν δικαιοῖτο ἡ τιμωρία τῶν ἀναιτίων. — 6. Ὑπὸ τῶν σοφῶν ὁ μὲν λόγος ὁμοιοῦται τῷ ἀργύρῳ, ἡ δὲ σιγὴ τῷ χρυσῷ. — 7. Ὅστις μὲν ὑψοῦται ταπεινωθήσεται, ὅστις δε ταπεινοῦται ὑψωθήσεται. — 8. Ἐλευθερωθέντες ἀπὸ τῶν τυράννων, οἱ νησιῶται ἐδουλώθησαν ὑπὸ τῶν βαρβάρων. — 9. Ὑπὸ τῶν Ἑλλήνων δάφνῃ καὶ φοίνικι οἱ νικῶντες ἐστεφανοῦντο. — 10. Οἱ Ῥωμαῖοι πολὺ ῥᾷον τοὺς Γαλάτας ἐχειρώσαντο ἢ τοὺς Ἴβηρας.

Adjetivos verbales

(Gr. § 210)

EJERCICIO DE APLICACIÓN

1. *Formar* los adjetivos verbales en τέος y τός de los verbos:

βουλεύω	παύω	ποιέω	βοάω	ὁράω
κωλύω	φιλέω	τιμάω	δηλόω	δουλεύω

2. *Analizar* y *traducir*:

πρεσβευτέα — κινδυνευτέοις — δουλευτέων — ἀγορευτός — ὁρατός — χορευτός — θεωρητός — τοξευτέον — ὁ πατὴρ τιμητέος — ἡ πόλις ὠφελητέα — διωκτέον τὴν εἰρήνην — τοῦτο ποιητέον ἐστίν.

MEMORANDA

Los adjs. verbales en τέος admiten dos construcciones:

PERSONAL:	Ἡ πατρὶς πᾶσι φιλητέα ἐστιν	**Patria omnibus amanda est**
IMPERSONAL:	Τὴν πατρίδα πᾶσι φιλητέον ἐστίν	

En ambos casos la persona que debe hacer la acción se pone en dativo.

VERSIÓN

1. Πειστέον ὑμῖν πατρὸς λόγοις. — 2. Οὐ δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς κακῶς φρονοῦσιν. — 3. Οὐ τῇ ἡδονῇ δουλευτέον. — 4. Τοὺς φίλους εὐεργετητέον, τὴν πόλιν ὠφελητέον, τῶν βοσκημάτων ἐπιμελητέον. — 5. Ποταμός τις ἡμῖν ἐστι διαβατέος. — 6. Κωλυτέον τοὺς ὑβρίζειν βουλομένους. — 7. Ἐπιθυμητέον ἐστὶν ὑμῖν τῆς ἀρετῆς. — 8. Ὁ θεὸς αὐτὸς οὐχ ὁρατός, ἀλλὰ λόγῳ μόνον καὶ νῷ θεωρητός.

RECAPITULACIÓN

Deberes hacia la Patria


Μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς [1] καὶ ἁγιώτερον τοῖς νοῦν ἔχουσι· καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν [2], ἡσυχίαν ἄγοντα· [3] καὶ ἐὰν εἰς πόλεμον ἄγῃ τρωθησόμενον [4] ἢ ἀποθανούμενον [5], ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς.

PLATON, *Critón*

[1] Gr. § 267. — [2] Infin. aor. 2 de πάσχω *sufrir* — [3] ἡσυχίαν ἄγοντα *tranquilamente, sin quejarse*. — [4] Part. fut. pas. de τιτρώσκω *herir*. — [5] Part. fut. med. de ἀποθνήσκω *morir*.



Mujer hilando, con la rueca
Pintura de un vaso, siglo V a. C.



Cabo Sunion

...ποντίων τε κυμάτων / ἀνήριθμον γέλασμα...
...la sonrisa innumerable de las olas marinas...
ESQUILO, Prometeo.

VERBOS MUDOS

(Gr. § 171-175)

VOCABULARIO

Verbos

I. En labial		II. En gutural		III. En dental	
τρίβω	*frotar*	λέγω	*decir*	ᾄδω	*cantar*
βλέπω	*mirar*	στέργω	*amar*	σπεύδω	*apresurar*
λείπω	*dejar*	διδάσκω	*enseñar*	ψεύδω	*engañar*
πέμπω	*enviar*	διώκω	*perseguir*	ἀνύτω	*concluir*
γράφω	*escribir*	ἄρχω	*mandar* (g.)	πείθω	*convencer*
κλέπτω	*robar*	εὔχομαι	*suplicar*	ἁγιάζω	*santificar*
κρύπτω	*ocultar*	πατάττω	*pegar*	ἐλπίζω	*esperar*
θάπτω	*sepultar*	πράττω	*hacer*	κολάζω	*castigar*
ῥίπτω	*arrojar*	τάττω	*ordenar, [alinear*	νομίζω	*creer*
ἅπτομαι	*aplicarse a* (g).	φυλάττω	*guardar*	ὁρίζω	*definir*

Substantivos

ἡ ἀ-σέβεια, ας	*impiedad*	οἱ γονεῖς, εων	*padres*
ἡ βακτηρία, ας	*bastón*	τὰ τέκνα, ων	*hijos*
ἡ γραφή, ῆς	*escritura ; acusación*	ὁ πρεσβευτής, οῦ	*embajador*

I. Verbos en labial: βω, πω, φω (y πτω)

EJERCICIO DE APLICACIÓN

Analizar y *traducir*:

γράψον — ἐπέμφθη — γεγραφέναι — βλέψοιμι — ἐκρύφθην — βλέψει — ἔρριψα — τέθαμμαι — τέτριφα — ἐτριψάμην — ἅψασθαι — ἐθάφθην — ἐκλέφθην — κρύψομαι — κέκρυμμαι — θάψω — κλέψαι — πεμφθέν

VERSIÓN

1. Ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα· «ὦ Κρίτων, ἔφη (*dijo*), ἀπαγέτω τις τὴν Ξανθίππην οἴκαδε». — 2. Μὴ ἔλπιζε τῷ χρόνῳ κακὸν ἔργον κρύψειν. — 3. Οἱ Θηβαῖοι ἔπεμψαν κήρυκα, τοὺς νεκροὺς αἰτοῦντες θάψαι. — 4. Ἤλπιζεν ὁ Φιλοκτήτης οὐ λειφθήσεσθαι ὑπὸ Νεοπτολέμου. — 5. Πλάτων τραγῳδίας ἐγεγράφει πρὶν τῆς φιλοσοφίας ἅψασθαι. — 6. Ὁ Σωκράτης ἀντὶ τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων [1] τοὺς θεοὺς μάλιστα ἄλλων ἀνθρώπων. — 7. Δημοσθένης ὑπ' Ἀθηναίων εἰς Θήβας πρεσβευτὴς ἐπέμφθη. — 8. Πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσιν. — 9. Ὀρφεὺς τέθαπται περὶ τὴν Πιερίαν. — 10. Ὦ βασιλεῦ, τοὺς κλέψαντας κόλαζε. — 11. Ἄγγελοι πρὸς τὸν δῆμον ἐπέμφθησαν. — 12. Ὃ γεγραφα, γέγραφα.

[1] φανερὸς ἦν θεραπεύων *era manifiesto que honraba*; Gr. § 388 - Obs.

II. Verbos en gutural: γω, κω, χω (y ττω o σσω)

EJERCICIO DE APLICACIÓN

Analizar y *traducir*:

δίωξαι — ἤρχθη — πραχθήσομαι — ἔταξα — ἐταξάμην — τέταγμαι — ἠρξάμην — ἔστερξα — ἄρξομαι — ἐδιώξαμην — φυλάξομαι — ἐπραξάμην — πέπραγμαι — στέρξω — ἦρχα — ἦρξα — διώξειν.

VERSIÓN

1. Οἱ Ἕλληνες τοὺς ἐναντίον τεταγμένους νικήσαντες ἐδίωξαν. — 2. Δημώναξ ὁ φιλόσοφος ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν· «Ὅτε, ἔφη (*dijo*), καταγιγνώσκειν ἐμαυτοῦ ἠρξάμην». — 3. Λυκοῦργος

ἐπέταξε Λακεδαιμονίοις μὴ πολλάκις τοῖς αὐτοῖς πολεμῆσαι, ἵνα μὴ οὗτοι πολεμεῖν διδαχθῶσι. — 4. Θεμιστοκλῆς πρὸς τὸν Εὐρυβιάδην ἔλεγέ τι ὑπεναντίον· τότ' ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν ὁ Εὐρυβιάδης. Θεμιστοκλῆς δὲ «πάταξον μέν, ἔφη, ἄκουσον δέ». — 5. Οἱ γονεῖς ἔστερξαν ἀεὶ τὰ τέκνα μᾶλλον ἢ τὰ τέκνα στέργει τοὺς γονέας. — 6. Ἐπὶ τὴν εὐδαιμονίαν ἄξει σε ἡ ἀρετή. — 7. Οὐκ ἀρξόμεθα ἡμεῖς τοῦ πολέμου· ἐὰν δ' ὑμεῖς ἄρξησθε, ἡμεῖς ἀμυνούμεθα [1]. — 8. Τίνος ἄλλου ἕνεκα [2] πλουτεῖν τις ἂν εὔξαιτο ἢ βοηθεῖν τοῖς φίλοις;

[1] *Nosotros nos defenderemos.* — [2] τίνος ἄλλου (neut.) ἕνεκα *¿con qué otro fin?*

III. Verbos en dental δω, τω, θω (y ζω)

EJERCICIO DE APLICACIÓN

Analizar y *traducir*:

ψεῦσθαι — ἐκολάσθην — γεγύμνασμαι — ἐκόλασα — ἐπείσθην — πεισθήσομαι — πέπεισμαι — σπεύσω — ἔσπευσα — πείσω — ἦσα — ἠνύσθην — ἤνυσμαι — κολάσω — νομισθείς — ψευσθήσεσθαι.

VERSIÓN

1. Οἱ στρατιῶται τότε, ὑπὸ τῶν στρατηγῶν πεισθέντες, ἔσπευσαν. — 2. Τάνταλος διὰ τὴν ἀσέβειαν ἐκολάσθη. — 3. Ἐν τοῖς Δράκοντος νόμοις μία ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία, θάνατος. — 4. Θεμιστοκλῆς Ξέρξην ἔπεισε πρὸς τοὺς Ἕλληνας ναυμαχῆσαι. — 5. Μισοῦσι τοὺς ψεύσαντας οἱ ψευσθέντες. — 6. Ἁγιασθήτω, Κύριε, τὸ ὄνομά σου. — 7. Ἀρίων, θρῆνον ᾄσας ἐφ' ἑαυτῷ, εἰς τὴν θάλατταν ἑαυτὸν ἔρριψε. — 8. Αἱ θεράπαιναι, κεκλωσμένου τοῦ ἐρίου, ἐσιτοῦντο.

RECAPITULACIÓN

Arístides y el campesino

Γραφομένων ποτε τῶν ὀστράκων [1], τις τῶν ἀγραμμάτων καὶ ἀγροίκων ἀνέδωκε [2] τῷ Ἀριστείδῃ τὸ ὄστρακον καὶ παρεκάλει αὐτὸν ἐγγράφειν. Τοῦ δὲ θαυμάσαντος καὶ ἐρωτήσαντος εἴ τι κακὸν αὐτῷ Ἀριστείδης πεποίηκεν· «Οὐδέν, εἶπεν [3] ὁ ἀγροῖκος, οὐδὲ γιγνώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ αὐτὸν ἀκού-

ων [4] Δίκαιον». Ἐπεὶ δὲ ταῦτα ἤκουσεν, ὁ Ἀριστείδης οὐδὲν μὲν ἀπεκρίνατο, ἐνέγραψε δὲ τὸ ὄνομα καὶ ἀπέδωκε [5] τὸ ὄστρακον.

PLUTARCO

[1] γραφομένων τῶν ὀστράκων, gen. absoluto. Se escribía en tejuelos en forma de *concha* (ὄστρακον) el nombre de los ciudadanos a quienes se quería desterrar. De donde la palabra *ostracismo*; vid. pág. 82. — [2] ἀνέδωκε *dio, entregó.* — [3] εἶπε(ν) *dijo.* — [4] ἀκούων *de oír(le) llamar.* — [5] ἀπέδωκε *devolvió.*

EJERCICIO DE DERIVACIÓN Y ETIMOLOGÍA

1. *Examinar* la formación y el significado propio de cada una de las palabras que componen la siguiente familia:

Γράφω *escribir:*


ὁ γραφεύς, έως	*escribiente, pintor*	τὸ γράμμα, ατος	*letra*
ἡ γραφή, ῆς	*escritura*	τὸ ἐπί-γραμμα, ατος	*inscripción*
τὸ γραφεῖον, ου	*punzón, estilo*	ἡ γραμματική, ῆς	*gramática*

2. *¿Qué* significan etimológicamente las palabras:

Basílica — horizonte — aoristo — cripta — criptógama — fanerógama — fotografía, gráfico — profilaxis — epigrama — gramática — práctica — táctica — cleptomanía — bacteria?



Mujer con sombrero envuelta en su manto
Estatuilla de Tanagra, siglo IV a. C.



Pórtico de las Cariátides, en el Erecteon (Acrópolis de Atenas)

VERBOS LIQUIDOS

(Gr. §§ 176-181)

VOCABULARIO

Verbos

ἀγγέλλω	*anunciar*	περι-μένω	*aguardar*
βάλλω	*disparar, tocar*	μιαίνω	*manchar*
στέλλω	*enviar*	σημαίνω	*señalar*
σφάλλω	*caer, fallar*	τείνω	*extender*
νέμω	*distribuir*	φαίνω	*mostrar*
αἰσχύνομαι	*avergonzarse de*	ἀγείρω	*reunir*
ἀμύνω	*rechazar, socorrer*	δια-φθείρω	*destruir*
ἀπο-κτείνω	*matar*	καθαίρω	*purificar*
κάμνω	*trabajar, fatigarse*	σπείρω	*sembrar*
κρίνω	*juzgar*	φθείρω	*corromper*
μένω	*permanecer*	χαίρω	*alegrarse*

Substantivos

ἡ ἀλκή, ῆς	*fuerza, vigor*	τὸ κέρας, ατος	*cuerno*
ἡ δύναμις, εως	*fuerza, poder*	ἡ τραχύτης, ητος	*fiereza*
τὸ κέντρον, ου	*aguijón*	ἡ ὁρμή, ῆς	*ímpetu, ataque*

EJERCICIO DE APLICACIÓN

Analizar y *traducir*:

ἀγγελοῦμεν — μίαναι — φανήσεται — ἐστειλάμεθα — ἠγγέλθη — κεκρίσθαι — κρῖναι — ἐσημήνω — στέλλων — νείμασθαι — ἀποκτενεῖν — ἀμυναμένους — ἔμειναν — νεμηθείη — κέκριται — φαινοίμην — ἐστάλκειν — ἔσπαρμαι — ἐστάλθησαν — στελῶν — καμῶ — φανῶ

VERSIÓN

1. Ἐν Μαραθῶνι Μιλτιάδης τὰς τῶν Περσῶν δυνάμεις διέφθειρεν. 2. Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. — 3. Πρῶτος τῶν στρατηγῶν κεκρίσθω Ἀλέξανδρος. — 4. Ὅταν ὁ ἱππεὺς προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην ἐρχέσθω. — 5. Θεὸς ἑκάστῳ ὅπλον τι ἔνειμε· λέουσιν ἀλκὴν καὶ τραχύτητα, ταύροις κέρατα, μελίτταις κέντρα, ἀνδρὶ λόγον καὶ σοφίαν. — 6. Τίνα ἀποστελοῦμεν; — 7. Ἁρμόδιος καὶ Ἀριστογείτων Ἵππαρχον ἀπέκτειναν. — 8. Δημῶναξ ἐρωτήσαντι τινι· «Ποῖα νομίζεις εἶναι τὰ ἐν Ἅιδου;» εἶπε (*dijo*)· «Περίμεινον, καὶ ἐκεῖθέν σοι ἐπιστελῶ». — 9. Ἐγὼ θύσομαι ἐπὶ τῇ ὁρμῇ· ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ [1], σημανοῦμεν. — 10. Κῦρος ἀπεστάλκει Ὑστάσπην ἄγοντα στράτευμα ἐπὶ τὴν Φρυγίαν. — 11. Ὁ θεὸς οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς οὔτε λέγει, οὔτε κρύπτει; ἀλλὰ σημαίνει. — 12. Χαλεπόν ἐστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον. — 13. Κακαὶ ὁμιλίαι τὰ χρηστὰ ἤθη πολλάκις διέφθειραν. — 14.

Ἀεὶ λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε

[1] El verbo ἔχω con un adverbio equivale a εἰμί con el adjetivo correspondiente.

RECAPITULACIÓN

«NENIKHKAMEN»

El corredor de Maratón

Μετὰ τὴν ἐν Μαραθῶνι μάχην ὁ στρατηγὸς τῶν δρομέων τὸν τάχιστον ἔπεμψεν Ἀθήναζε, ἵνα τὴν νίκην ἀγγέλλοι. Ὁ δὲ κατὰ κράτος [1] σπεύδων διακοσίων καὶ τριάκοντα καὶ ἑπτὰ σταδίων [2] ὁδὸν ἐν βραχυτάτῳ ἐτέλεσε. Ἀφικόμενος [3] δέ εἰς τὴν ἀγορὰν ἓν μόνον εἶπε [4] «Νενικήκαμεν». Εἶτα δὲ εὐθὺς ἔπεσεν [5] καὶ μετὰ μικρὸν ἐξέπνευσεν. Οἱ δὲ πολῖται τὸν τετελευτηκότα ἔθαψαν δημοσίᾳ.

[1] κατὰ κράτος *con todas sus fuerzas, a toda velocidad.* — [2] Unos 42 km., distancia aproximada de Maratón a Atenas. — [3] Part. aor. de ἀφικνέομαι *llegar.* — [4] *Dijo.* — [5] *Cayó.*

ΜΗΔΕΝ ΑΓΑΝ

Ἦν Λακεδαιμόνιος, Χίλων [1] σοφός, ὃς τάδ' ἔλεξε·
«Μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά».

[1] Χιλων *Quilón*, lacedemonio, uno de los famosos Siete Sabios de Grecia.

EJERCICIO DE DERIVACIÓN Y ETIMOLOGÍA

1. *Examinar* la formación y el significado propio de cada una de las palabras que componen las siguientes familias:

Κρίνω *juzgar:*

τὸ κριτήριον, ου	*que sirve para juzgar*	κριτικός, ή, όν	*que sabe juzgar*
ἡ κρίσις, εως	*juicio, sentencia*	ὁ κριτής, οῦ	*iuez*

Σημαίνω *señalar:*

τὸ σῆμα, ατος	*señal, indicio*	ὁ σημαιο-φόρος, ου	*abanderado*
ἡ σημαία, ας	*bandera*	τὸ σημεῖον, ου	*signo, prueba*

2. *Dar* el significado etimológico de las siguientes palabras:

Balística, ballesta — apóstol, epístola — crisis, crítica, criterio — semáforo, semántica — tenia — miasma — diáfano, fenómeno — catarsis — esperma — hormona.



...τί δέ τις;
τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωπος

...¿qué es uno? ¿Y qué no es?
El hombre es el sueño de una sombra
PÍNDARO

Mujer llorando ante una tumba
De un lecito blanco del siglo V a. C.



Ulises náufrago ante Nausica y sus compañeras

σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ...

(Ulises) les pareció horrible, afeado por el sarro del mar...

HOMERO, Odisea VI

TIEMPOS SEGUNDOS O FUERTES

(Gr. §§ 182-188)

Futuros II activos y medios

VOCABULARIO

ἀγονιοῦμαι	fut. 2 de	ἀγονίζομαι	*luchar*
ἀπο-κρινοῦμαι	fut. 2 de	ἀπο-κρίνομαι	*responder*
ἐλῶ, ᾶς	fut. 2 de	ἐλαύνω	*empujar*
λογιοῦμαι	fut. 2 de	λογίζομαι	*calcular*
μαχοῦμαι	fut. 2 de	μάχομαι	*combatir*
νομιῶ	fut. 2 de	νομίζω	*pensar, creer*
πλουτιῶ	fut. 2 de	πλουτίζω	*enriquecer*
ποριῶ	fut. 2 de	πορίζω	*proporcionar*
χαριοῦμαι	fut. 2 de	χαρίζομαι	*agradar*

Los futuros 2 activos y medios se conjugan como los presentes de los verbos contractos.

VERSIÓN

1. Αὐτοῦ μενοῦμεν· διὸ καὶ σκεπτέον ἐστὶν ὅπως ὡς ἀσφαλέστατα μαχούμεθα. — 2. Οὗτοι ἀληθῶς τὴν πόλιν πλουτιοῦσιν, οἳ οὐ τὰ ἴδια κέρδη λογιοῦνται, ἀλλ' ἀγαθὴν αὐτῇ δόξαν ποριοῦσιν. — 3. Τούτοις τοῖς βάρβαροις ἀποκρινεῖσθε ὅτι πολέμου μὲν ἡμεῖς οὐκ ἄρξομεν, ἀρχομένους δ' ἀμυνούμεθα. — 4. Τῷ ὑμετέρῳ βασιλεῖ ἀγγελεῖτε ὅτι οὐχ ἥκομεν αὐτῷ χαριούμενοι, ἀλλὰ πολεμικῶς μαχούμενοι καὶ πρὸς αὐτὸν τοὺς ἡμετέρους στρατιώτας ἐλᾶν ὡς τάχιστα ἐθέλομεν. — 5. Τὸ μέλλον φανεῖ τὰ νῦν κεκρυμμένα κακὰ καὶ σε οἱ νῦν κολακεύοντες ἀποβαλοῦσι καὶ ὡς μιαρὸν κατακρινοῦσιν.

Aoristos II activos y medios

VOCABULARIO

ἔβαλον	aor. 2 de	βάλλω	*disparar, alcanzar*
ἐγενόμην	aor. 2 de	γίγνομαι	*llegar a ser, ser*
ἔλαβον	aor. 2 de	λαμβάνω	*coger, tomar*
ἔλαθον	aor. 2 de	λανθάνω	*estar, pasar oculto*
ἔλιπον	aor. 2 de	λείπω	*dejar*
ἔμαθον	aor. 2 de	μανθάνω	*aprender*
ἥμαρτον	aor. 2 de	ἁμαρτάνω	*errar, faltar*
ἐπυθόμην	aor. 2 de	πυνθάνομαι	*informarse*
ἔτυχον	aor. 2 de	τυγχάνω	*conseguir*
ἔφυγον	aor. 2 de	φεύγω	*huir*
ἔτραπον	aor. 2 de	τρέπω	*volverse*
ἔτεμον	aor. 2 de	τέμνω	*cortar*
ἱκόμην	aor. 2 de	ἱκνέομαι	*venir, llegar*

VERSIÓN

1. Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον. — 2. Ὁ Κῦρος παραγέλλει τῷ Κλεάρχῳ ἥκειν λαβόντι ὅσον ἦν αὐτῷ σρτάτευμα. — 3. Μηδεὶς ὑμῶν ὑπολάβῃ με βούλεσθαι λαθεῖν. — 4. Ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. — 5. Τῇ εἰσβολῇ ταύτῃ [1] πλεῖστόν τε χρόνον [2]

El acento es un buen recurso para reconocer los participios y los infinitivos aoristos segundos: λιπεῖν, λιπών.

ἐνέμειναν οἱ Πελοποννήσιοι καὶ τὴν γῆν πᾶσαν ἔτεμον. — 6. Πολλάκις τινὲς ἤδη τραπόμενοι καὶ φυγόντες τοὺς νικῶντας πολεμίους ἐτρέψαντο. — 7. Γοργίας ὁ Λεοντῖνος σοφιστὴς εἰς Ἀθήνας ἀφίκετο. — 8. Οἱ ὁπλῖται τῶν Θεσπιῶν, μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον. — 9. Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς. — 10. Ἐπειδὴ τάχιστα οἱ Λακεδαιμόνιοι ἐπύθοντο τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, ἦλθον [3] ἡμῖν ἀμυνοῦντες [4].

[1] Dativo de fecha: *cuando esta invasión*. — [2] Acusativo de duración. — [3] Aoristo 2 indicativo de ἔρχομαι *ir, venir*. — [4] Gr. § 384-5.º.

Perfectos y pluscuamperfectos II activos

VOCABULARIO

ἀκήκοα	*he oído*	perf. 2 de ἀκούω
γέγονα	*he llegado a ser, soy*	perf. 2 de γίγνομαι
ἐγρήγορα	*estoy despierto*	perf. 2 de ἐγείρω
λέλοιπα	*he dejado*	perf. 2 de λείπω
πέποιθα	*confío, creo*	perf. 2 de πείθω
πέπραγα	*he obrado*	perf. 2 de πράττω
σέσηπα	*estoy podrido*	perf. 2 de σήπω

VERSIÓN

1. Ὅσῳ [1] μᾶλλον τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ [1] μᾶλλον τὰ τούτων ηὔξηται. — 2. Οὐκ ἀκηκόατε τοὺς πολεμίους πλησιάζειν τῇ ἡμετέρᾳ πόλει καὶ ἐν μεγάλῃ μάχῃ ἤδ' εὖ πεπραγέναι; — 3. Δεῖ ἀκηκοέναι πρὶν λέγειν. — 4. Ἐγρηγόρεσαν οἱ πολέμιοι καὶ ἔκαον πυρὰ πολλὰ διὰ νυκτός. — 5. Παρὰ ταύτην τὴν πόλιν ἦν πυραμίς, ἐφ' ἧς πολλοὶ τῶν βαρβάρων ἦσαν ἐκ τῶν πλησίων κωμῶν πεφευγότες. — 6. Ἐλείποντο σρατιωτῶν οἱ ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους [2] τῶν ποδῶν ἀποσεσηπότες — 7. Μὴ φθονεῖ τοῖς εὖ πεπραγόσιν.

[1] Ὅσῳ μᾶλλον... τοσούτῳ μᾶλλον *cuanto más... tanto más*. — [2] Acusativo de relación.

Futuros y aoristos II pasivos

VOCABULARIO

Fut. 2	Aor. 2			
γραφήσομαι	ἐγράφην	de	γράφω	*escribir*
κοπήσομαι	ἐκόπην	de	κόπτω	*cortar*
λεγήσομαι	ἐλέγην	de	λέγω	*recoger*
πληγήσομαι	ἐπλήγην	de	πλήττω	*pegar, herir*
σπαρήσομαι	ἐσπάρην	de	σπείρω	*sembrar*
σταλήσομαι	ἐστάλην	de	στέλλω	*enviar*
σφαλήσομαι	ἐσφάλην	de	σφάλλω	*caer, fallar*
ταφήσομαι	ἐτάφην	de	θάπτω	*sepultar*
τραφήσομαι	ἐτράφην	de	τρέφω	*alimentar*
φανήσομαι	ἐφάνην	de	φαίνω	*mostrar*
φθαρήσομαι	ἐφθάρην	de	φθείρω	*destruir*

VERSIÓN

1. Οἱ Κρῆτες παρ' ἑαυτοῖς τραφῆναι Δία λέγουσιν. — 2. Τριπτόλεμος ἐστάλη ὑπὸ Δήμητρος σπείρειν τὴν γῆν. — 3. Ἐν τῇ ἐν Σαλαμῖνι μάχῃ διεφθάρησαν νῆες τῶν μὲν Ἑλλήνων τετταράκοντα, τῶν δὲ Περσῶν ὑπὲρ τὰς διακοσίας. — 4. Ἐβουλευόμεθα σὺν αὐτοῖς ὅπως ἂν ταφεῖεν οἱ τῶν Ἑλλήνων νεκροί. — 5. Εἰς τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγέμων ἀνηγορεύθη Ἀλέξανδρος. — 6. Τοξότου κακοῦ τοξεύοντος Διογένης πρὸς τὸν σκοπὸν ἐκαθέζετο λέγων· «ἵνα μὴ πληγῶ». — 7. Οὐδεὶς δεινότερος οὐδὲ φοβερώτερος ἐγένετο Ἀγησιλάου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων. — 8. Πτολεμαῖος, ὁ Μακεδονίας βασιλεύς, ὑπὸ Γαλατῶν ἐσφάγη, καὶ πᾶσα ἡ Μακεδονικὴ δύναμις κατεκόπη καὶ διεφθάρη. — 9. Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται. — 10 Οἱ στρατηγοί, συλλεγέντες, ἐβουλεύοντο.

Comprobar siempre los verbos compuestos refiriéndose a las formas simples; así sabremos qué es κατεκόπη, reconociendo primero su forma simple ἐκόπη.

RECAPITULACIÓN

Serenidad de Sócrates ante la muerte

Ἐπεὶ ὁ Σωκράτης κατακριθεὶς τὸ δικαστήριον ἀπέλιπε καὶ ᾔσθετο τοὺς φίλους δακρύοντας· «Τί τοῦτο;» εἶπεν, «νῦν δακρύετε; οὐ πάλαι ἴστε [1], ὅτι, ἐξ ὅτου ἐγὼ ἐγενόμην [2], κατεψηφισμένος ἦν μοῦ ὑπὸ τῆς φύσεως θάνατος...» [3]. Παρὼν δὲ τις Ἀπολλόδωρος εἶπεν· «Ἀλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνῄσκοντα». Σωκράτης δε καταψήσας αὐτοῦ τὴν κεφαλήν, ἔφη· «Σὺ δὲ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνῄσκοντα»; καὶ ἐπεγέλασεν.

JENOFONTE, *Memorables*

[1] ἴστε *sabéis.* — [2] ἐξ ὅτου... ἐγενόμην *desde que nací.* — [3] κατεψηφισμένος... θάνατος *estaba condenado a muerte por la naturaleza* (literal., *la muerte había sido decretada contra mí* (κατὰ... μοῦ) *por la naturaleza*)

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etmológico de las siguientes palabras:


Discóbolo, sílaba, matemáticas, tomo, átomo, anatomía, aséptico, apoplegía, difteria, hipertrofia, atrofia, apóstol, epístola, eclipse, antiséptico, septicemia, espermatozoo, copto, hipérbole.



Edipo ante la Esfinge
Interior de una copa ática, siglo V a.C.

Ἀλλ' ἐξ ὑπαρχῆς αὖθις αὔτ' ἐγὼ φανῶ
Pues este misterio, remontándome a su principio, yo lo aclararé

SÓFOCLES, Edipo Rey



Escena de guerra. Detalle de una copa de Duris, siglo V a. C.

VERBOS EN -MI

I. Verbos en -μι con reduplicación

Verbo τίθημι

(Gr. §§ 196-197)

VOCABULARIO

Verbos compuestos de τίθημι

- ἀνα-τίθημι *colgar;* med. *encargarse*
- ἀπο-τίθημι *deponer;* med. *reservar*
- δια-τίθημι *distribuir;* med. *testar*
- ἐπι-τίθημι *sobreponer;* med. *atacar* (dat.)
- κατα-τίθημι *depositar, establecer;* med. *adquirir*
- μετα-τίθημι *trasladar;* med. *cambiar(se)*
- παρα-τίθημι *ofrecer;* med. *arriesgar*
- προσ-τίθημι *añadir;* med. *asociarse*
- προ-τίθημι *proponer;* med. *proponerse*
- συν-τίθημι *componer;* med. *contratar*

Para entender y comprobar el sentido de los verbos compuestos, véase el significado de las preposiciones en composición; Gr. § 233.

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* y *traducir*:

a) En la voz activa:

προτίθεμεν — προτιθῇ — προτιθέασι — κατετίθετε — κατατιθέντων — κατάθες — μετατίθης — μετατιθῇς — μετατιθῶσιν — συντεθηκέναι — συνθεῖμεν — συνθεῖσα — διατέθηκα — διαθεῖναι — θές

b) En la pasiva y media:

ἀνατίθεσθε — ἀνατεθῇ — ἀνατεθῆναι — παρατέθητε — παρατεθέν — παρατεθείη — διατιθεῖσθε — διετέθη — καταθήσῃ — καταθήσεσθαι — κατέθου — παράθου — παραθεῖο — ἀποθέσθαι — παραθέμενος.

2. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. Ὁ νόμος λέγει· ὃ μὴ κατέθου, μὴ λάμβανε. — 2. Οὕτως οἱ πάλαι Ἀθηναῖοι ἐπεμελοῦντο ὅπως τὰ τῆς πόλεως καλῶς ἕξει, ὥστε πολλάκις τὰ ἑαυτῶν χρήματα εἰς τὸ κοινὸν ἑκόντες ἀπέθεσαν. — 3. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν (*dijo*)· Οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην. — 4. Ἐγὼ θεοὺς οἴομαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. — 5. Ἑρμῆς τοῖς θεοῖς τὴν ἀμβροσίαν παρετίθει, καὶ Ἥβη τὸ νέκταρ. — 6. Σόλων νόμους κρατίστους τῇ πόλει κατέθηκεν. — 7. Οἱ παλαιοὶ τοῖς νεκροῖς ὀβολὸν ἐν τοῖς στόμασι κατετίθεσαν. — 8. Ἡ τῆς γεωργίας ἐπιμέλεια, τοὺς αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα, ἰσχὺν αὐτοῖς προστίθησι.

RECAPITULACIÓN

Edipo y la Esfinge

Σφίγγα μυθολογοῦσι, θηρίον διμορφόν, παραγενομένην εἰς τὰς Θήβας αἴνιγμα προτιθέναι τῷ δυναμένῳ λῦσαι, καὶ πολλοὺς ὑπ'αὐτῆς διὰ ἀπορίαν ἀναιρεῖσθαι. Ἦν δὲ τὸ προτιθὲν ὑπὸ τῆς Σφιγγός·

«Τί ἐστι τὸ αὐτὸ δίπουν, τρίπουν καὶ τετράπουν;»

Ἀπορουμένων δὲ τῶν ἄλλων, ὁ Οἰδίπους ἔφηνε ἄνθρωπον εἶναι τὸ προτιθέν· νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα τετράπουν εἶναι, αὐξήσαντα δὲ, δίπουν, γηράσαντα δὲ, τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν.

DIODORO DE SICILIA

Verbo ἵημι

(Gr. §§ 198-199)

VOCABULARIO

Verbos compuestos de ἵημι

ἀν-ίημι *hacer surgir, emitir, dejar*
ἀφ-ίημι *dejar*; med. *apartarse*
ἐξ-ίημι *hacer salir*; intr. *echarse*
ἐφ-ίημι *lanzar*; med. *desear* (g.)
μεθ-ίημι *omitir*; med. *abandonarse*
παρ-ίημι *dejar*; med. *omitir*
προ-ΐημι *enviar*; med. *abandonar*
συν-ίημι *comprender*; med. *acordar*

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* y *traducir*:

a) En la voz activa:

ἀφιᾶσι — ἀφιεῖσι — ἀφίεσαν — προεῖναι — προιεῖτε — προίετε — ἐφῆκε — ἐφεικυῖα — ἐφήσω — συνιέναι — συνεῖναι — συνεικέναι — μεθήσει — μεθιῇς — μεθεῖμεν — συνιῶσι — συνεῖσαν — παρεικότας.

b) En la pasiva y media:

ἀφεῖτο — ἀφείθη — ἀφεθέντες — προίεται — προείμην — προιέμενα — μεθήσεται — μεθήσεσθαι — μεθεμένου — συνέσθω — συνέμενοι — συνῆται — μεθεθείης — μεθεῖσθαι — ἐφεθεῖς — ἐφιῇ — ἀφείθη

2. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. Ἀττικὴ πρώτη τὴν ἐλαίαν τοῖς ἀνθρώποις ἀνεῖναι λέγεται. — 2. Ἀγόρευε πάντα ἀληθῆ, καὶ τῶν ψευδῶν ἀφοῦ. — 3. Συνίετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς καλῶς ὁ Σόλων τοὺς νόμους κελεύει τιθέναι. — 4. Ὁ Ξενοφῶν ἐθύετο εἰ [1] παρεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι πρὸς Σεύθην ἄγειν τὸ στράτευμα. — 5. Ἐλευθέρους ἀφῆκε πάντας ὁ θεός· οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν. — 6. Τὰ σώματά γε τὰ εὖ ἔχοντα [2], ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονηρῶς πάλιν ἔχει [2]. — 7. Ἐν τῇ ὀρχήσει ἵει ἅμα πάντα καὶ σκέλη καὶ χεῖρας καὶ κεφαλήν.

— 8. Οἱ τοὺς ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι [3], τὴν δ' ἀλλοτρίαν γεωργοῦσιν [3]. — 9. Οἱ Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι· εἴη δ'ἄν, εἰ τοὺς Ἕλληνας, ὦ ἄνδρες Ἀθηναῖοι, αὐτονόμους ἀφεῖτε. — 10. Ὁ Νεῖλος ἐξίησι εἰς τὴν θάλατταν ἑπτὰ στόμασιν.

[1] εἰ *por ver si.* — [2] Véase el recuadro. — [3] Dativo plural del participio.

> El verbo **ἔχω** con un adv. de modo es sinónimo de **εἰμί**:
>
> Οὕτως ἔχει *así es* — Καλῶς ἔχω *estoy bien*

El verbo ἵστημι

(Gr. §§ 200-202)

VOCABULARIO

Verbos compuestos de ἵστημι

- ἀν-ίστημι *levantar;* med. *levantarse*
- ἀφ-ίστημι *separar;* med. *alejarse*
- ἐφ-ίστημι *poner en;* med. *parar(se)*
- καθ-ίστημι *establecer;* med. *establecerse*
- μεθ-ίστημι *mudar;* med. *mudarse*
- συν-ίστημι *componer;* med. *componserse*

Verbos que se conjugan como ἵστημι

- κίχρημι *prestar;* med. *tomar prestado*
- ὀνίνημι *ser útil;* med. *sacar provecho (de, g.)*
- ἄγαμαι *admirar*
- δύναμαι *poder*
- πίμπλημι *llenar;* med. *llenar para sí*
- πίμπρημι *abrasar, incendiar*
- ἐπίσταμαι *saber*
- κρέμαμαι *estar colgado*

> **MEMORANDA**
>
> En los verbos compuestos de ἵστημι, todas las formas relacionadas con ἔστην, ἕστηκα, son también intransitivas.

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* y *traducir* las siguientes formas de las tres voces:
ἐφίστης — ἐπιστάς — ἐφεστηκέναι — ἐπιστήτω — κίχρησι — χρήσουσα — κιχρᾶσι — χρῆσαι — ἀνιστῇ — παρεστῶσα (§ 200 Obs. II) — ἀπεστάθης — ἀποσταθῇς — ἀποσταθήσεται — κίχρασθε — κιχραίη — ἐπισταθείη — ἠπίστατο — ἐδύνατο — ἐδύνασθε — ἱστάς.
2. *Distinguir* el significado, transitivo o intransitivo, de las formas:
ἔστησα — στήσω — ἵσταμαι — ἔστην — ἕστηκα — στήσομαι.
3. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. Τὸ ζῷον συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, ὧν τὸ μὲν ἄρχον ἐστί, τὸ δ' ἀρχόμενον. — 2. Ἑστηκὼς (ἑστὼς) φυλάττου, μὴ σφαλῇς.

3. Θεὸς δὲ τοῖς ἀργοῦσι οὐ παρίσταται.

4. Φέρειν ἀνάγκη [1] τὰς παρεστώσας τύχας.

5. Οἱ Ἀθηναῖοι τὸν Πειραιᾶ [2] ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος κατεστήσαντο. — 6. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. — 7. Ἐπίστασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς τιμᾶν. — 8. Ὄναιο ἀγαθῆς τύχης σύ, ἐπεὶ τοσούτους ἄνδρας δυστυχεῖς ὤνησας. — 9. Προσέχειν νοῦν χρή, ὦ ἄνδρες στρατιῶται, ὡς τὸ παραγγελλόμενον δύνησθε ποιεῖν. — 10. Τὸ ἐσθίειν πολλὰ τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ, ὀργῆς δὲ καὶ σκληρότητος τὰς ψυχὰς ἐμπίπλησιν. — 11. Ἀτυχίαι τοὺς ἀνθρώπους σωφρονεστέρους καθιστᾶσιν. — 12. Ὅσον χρόνον ὁ Περικλῆς προὔστη τῆς πόλεως, αὕτη ἐγένετο μεγίστη.

[1] (sc. ἐστι). — [2] Acusativo de Πειραιεύς, αιῶς *el Pireo*, puerto de Atenas.

Aoristos II atemáticos de verbos en ω

(Gr. § 209)

VOCABULARIO

ἔδραν	aor. 2 de	διδράσκω	*huir*
ἔβην	aor. 2 de	βαίνω	*andar, ir*
ἐρρύην	aor. 2 de	ῥέω	*correr, fluir*

ἐχάρην	aor. 2 de	χαίρω	*alegrarse*
ἔδυν	aor. 2 de	δύομαι	*sumergirse*
ἑάλων	aor. 2 de	ἁλίσκομαι	*ser cogido*
ἐβίων	aor. 2 de	βιόω-ῶ	*vivir*
ἔγνων	aor. 2 de	γιγνώσκω	*conocer*

VERSIÓN

1. Ἐγὼ οὖν φημι ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμόν. — 2. Ἀκούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν τὸν ποταμὸν πρὸ τοῦ ἡλίου δύντος. — 3. Τὸ γνῶθι σεαυτὸν ἐγέγραπτο ἐν τῷ ἐν Δελφοῖς ἱερῷ. — 4.

Ἀλλ', ἡ βία γάρ ταῦτα ἀναγκάζει με δρᾶν,
σύγγνωτε. Πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷα ὁρῶσα πήματα, οὐ δρῴη τάδ' ἄν;

5. Ὅτε ἑάλω τὸ Ἴλιον ᾤκτειραν οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας. — 6. Σύλλας ἔπλησε τὴν πόλιν φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι. — 7. Οὔτε αὐτὸν ἀνέγνων. — 8.

Κακοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ κακός.

El verbo δίδωμι

(Gr. §§ 203-204)

VOCABULARIO

Verbos compuestos de δίδωμι

ἀπο-δίδωμι *devolver*; med. *vender*	πετα-δίδωμι *comunicar, dar parte*
δια-δίδωμι *distribuir, transmitir*	παρα-δίδωμι *confiar, transmitir*
ἐκ-δίδωμι *entregar, publicar*	προ-δίδωμι *abandonar, traicionar*

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* y *traducir* las formas siguientes:

προδιδόασι — προδιδῶσι — προδίδωσι — ἀποδιδοῖεν — ἀπεδίδοσαν — ἀπέδωκας — ἐκδοῦναι — ἐκδιδόναι — ἔκδος — ἐκδούς — ἐξέδωκε — παραδοθήσει — παραδοθείης — παραδόθητι — παραδοθῆναι — ἀποδίδοται — ἀπέδοτο — ἀποδοῦ — ἀποδόσθαι — ἀποδεδόσθαι.

2. *Razonar* el significado de los verbos del vocabulario.

VERSIÓN

1. Τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν καὶ ἀνάπαυσιν. — 2. Φίλιππος ἐρωτώμενος τίνας μὲν μάλιστα φιλεῖ, τίνας δὲ μισεῖ, ἀπεκρίνατο· «Μάλιστα μὲν φιλῶ τοὺς μέλλοντας προδιδόναι, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ». — 3. Ὅτε Κῦρος ἀπεχώρει οἴκαδε, πολλὰ μὲν δῶρα διέδωκε τοῖς ἡλικιώταις οὓς ὁ πάππος αὐτῷ ἐδεδώκει, τέλος δὲ καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδὺς ἔδωκέ τινι, δηλῶν, ὅτι τοῦτον μάλιστα ἐφίλει. — 4. Οἱ Λακεδαιμόνιοι ἐνόμιζον τοὺς Ἀθηναίους διδομένης εἰρήνης ἀσμένους δέξεσθαί [1] τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. — 5. Γυναικὶ ἄρχειν οὐ δίδωσιν ἡ φύσις. — 6. Τοὺς εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦμεν. — 7. Πυθαγόρας ἔλεγε δύο ταῦτα ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — 8. Μέλλω ὑμῖν δώσειν τεκμήριον φιλίας. — 9. Δός μοι ποῦ στῶ, καὶ κινῶ τὴν γῆν. (Ἀρχιμήδης).

[1] El complemento directo de δέξεσθαι es εἰρήνην, que en estos casos, como en latín, no se expresa.

RECAPITULACIÓN

Ciro dispone sus tropas

Κῦρος τὸν θώρακα ἐνέδυ, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ὁπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ εὐώνυμον κέρας εἶχε τοῦ Ἑλληνικοῦ στρατοῦ.

JENOFONTE, *Anábasis*


EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las siguientes palabras:

1) Derivadas del tema θη-, *poner*: tesis, tema, anatema, síntesis, antítesis, metátesis, hipótesis, paréntesis, epíteto, bodega, hipoteca, discoteca, pinacoteca, prótesis.

2) Derivadas del tema στη-, στα- *en pie*: estático, apóstata hidrostática, sistema, matástasis, éxtasis, Anastasio.

3) Derivadas del tema δω-, δο- *dar*: dosis, antídoto, dosificar, apódosis, anécdota (lat. *in-e-ditus*), Teodoro.



Representación de una obra clásica en el teatro de Epidauro

II. Verbos en -μι con sufijo -(ν)νυ

(Gr. §§ 205-207)

VOCABULARIO

Verbos en -νυμι		Verbos en -ννυμι	
ἄγνυμι	*romper, rasgar*	ζώννυμι	*ceñir*
δείκνυμι	*mostrar*	κεράννυμι	*mezclar*
ζεύγνυμι	*juntar, uncir*	κρεμάννυμι	*suspender*
ὄλλυμι	*perder*; intr. *perecer*	πετάννυμι	*desplegar*
ὄμνυμι	*jurar*	σβέννυμι	*extinguir*
πήγνυμι	*fijar, helar, coagular*	σκεδάννυμι	*dispersar*
ῥήγνυμι	*romper, brotar*	στορέννυμι	*extender; abatir*

Los verbos en (ν)νυμι solamente ofrecen una conjugación especial en el presente y en el imperfecto.

EJERCICIO DE APLICACIÓN

1. *Analizar* y *traducir* las formas siguientes:

ζευγνύναι — ζεύξειν — ζευχθῆναι — ἐζεῦχθαι — ζωννύντι — ἐζωκυῖαν — ζωσθέντι — ζώσομαι — ἐζώσατο — πέπηκται — πῆξαι — ἐπήγνυς — πηγνύς — πήγνυς — παγέντες — πεπαγέναι — ἐπήγνυτο — ῥήξεσθαι — πεταννύασι — σβέσετε — ἀγνῦσα — κρέμασον.

1. Ἐπέδειξαν οἱ πρόγονοι πᾶσιν ἀνθρώποις νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον [1] μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. — 2. Εἴ πού γε φανείη μόνον ὁ Ἡρόδοτος, ἐδείκνυτο ἂν τῷ δακτύλῳ· «Οὗτος ἐκεῖνος Ἡρόδοτός ἐστιν, ὁ τὰς μάχας τὰς Περσικὰς Ἰαστὶ συγγεγραφώς, ὁ τὰς νίκας ἡμῶν ὑμνήσας». — 3. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος, κακὸν δὲ καὶ ἐν ἡμέρᾳ γνοίης [2] ἂν μιᾷ — 4. Κῦρος στρατηγὸς ἀπεδείχθη ὑπὸ τοῦ πατρός. — 5. Ἀπέθανεν ὁ Σωκράτης θαυμασίαν ῥώμην ψυχῆς ἐνδειξάμενος. — 6. Ἦν χιὼν πολλὴ καὶ ψῦχος οὕτως ὥστε [3] τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο. — 7. Ἀρετή, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται. — 8. Ἐνταῦθα ἦν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτήν.

[1] (ἐστί). — [2] Opt. aor. de γιγνώσκω. — [3] οὕτως... ὥστε *de tal manera que*.

MEMORANDA

Muchas veces καί, como **et** en latín, es simplemente adverbio, con el significado de: *también*, *incluso*, *aun*.

RECAPITULACIÓN

A los atenienses caídos en Maratón

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν

SIMÓNIDES DE CEOS

Atardecer

Ἕσπερε πάντα φέρων ὅσα φαίνολις ἐσκέδασ' αὔως[1],
φέρεις ὄιν, φέρεις αἶγα, φέρεις ἄπυ[2] μάτερι[3] παῖδα

SAFO

[1] αὔως eólico = ἕως *aurora*. — [2] ἄπυ = ἀπό; unir ἀπο-φέρεις *devuelves*. — [3] = μητρί

EJERCICIO DE ETIMOLOGÍA

1. ¿Qué significan etimológicamente las palabras:

zona — cratera — hemorragia — parapeto (παρα-πετάννυμι, *extender delante*) — estera — ceugma — paradigma, apodíctico?

III. Verbos en -μι sin reduplicación ni sufijo

El verbo εἶμι *voy, ir*

(Gr. § 208, 2.º)

VOCABULARIO

Verbos compuestos de εἶμι

ἄπ-ειμι	*marcharse, irse de*	πάρ-ειμι	*acercarse, presentarse*
δί-ειμι	*recorrer; explicar*	πρό-ειμι	*adelantarse, llegar a*
εἴσ-ειμι	*entrar en, introducirse*	πρόσ-ειμι	*acercarse, dirigirse a*
ἔξ-ειμι	*salir de*	σύν-ειμι	*ir juntamente, reunirse*

EJERCICIOS DE APLICACIÓN

1. *Analizar* y *traducir*:

ἴασι — ἰόντων — ἴωμεν — ἰέναι — ᾔεισθα — ἄπει — ἀπιούσης — ἄπιθι — ἀπῄει — ἐξίωμεν — ἐξίωσι — ἐξιόν — εἰσῇσαν — εἰσίοιμεν — εἰσίτω — εἰσεῖσι — συνιοῦσι — συνῇα — συνίω — συνιόντες.

2. *Distinguir* las formas:

εἶμι y εἰμί — εἶ y εἶ — εἶσι y εἰσί — ᾖσαν y ἦσαν — ἦτε y ᾖτε.

VERSIÓN

1. Ἡ μὲν ἑσπέρα ἤδη προσῄει· τῶν δὲ γνωρίμων οὐδεὶς ἐφάνη. — 2. Ἐὰν μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν, ὁπόταν ἀπίωμεν, ἕψονται. — 3. Τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέναι. — 4. Ταῦτα ἀκούσαντες ἀπῄμεν. — 5. Διαλυομένου τοῦ ἀνθρωπίνου σώματος, δῆλα ἐστιν ἅπαντα [1] ἀπιόντα [2] πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη, οὔτε παροῦσα, οὔτε ἀπιοῦσα, ὁρᾶται. — 6. Σὺ πάριθι ἤδη, τὸν πλοῦτον ἀποθέμενος. — 7. Πρῶτον τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι· ἄξιον γάρ ἐστι καὶ ἐκείνων μεμνῆσθαι. — 8. Πάντες οἱ ποταμοί, ἐὰν καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι, τοῖς προιοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται.

[1] ἅπαντα *todos los elementos del cuerpo*. — [2] δῆλά ἐστιν... ἀπιόντα. Gr. § 388-1. Obs.

El verbo φημί *digo, afirmo*

(Gr. § 208, 3.º)

VOCABULARIO

Verbos compuestos de φημί

